76. *Ἐὰν δὲ ἀπό* p. 84, 22] *ὅτι ἴσα τὰ τρίγωνα πάντα γίνονται τά τε ὑπὸ τῆς ἀκτῖνος καὶ τῶν εὐθειῶν περιεχόμενα καὶ τοῦτο ..... τοῦ παρόντος βιβλίου.*

10 77. *Τὸ αὐτό* p. 88, 3] *ἤτοι ἡ ΑΒ, ΕΓ, ΔΖ· αἱ αὐταὶ γὰρ ἴσαι ἐλήφθησαν.*

78. *Ἡμίσεια ἡ ὑπὸ ΒΕΑ* p. 88, 8] *διὰ τὸ λδ' τοῦ α' τῶν Στοιχείων· δίχα γὰρ τέτμηται τὸ παραλληλόγραμμον ὑπὸ τῆς ΕΒ εὐθείας.*

15 79. *Μέγιστον δέ* p. 88, 15] *φανήσεται γὰρ εὐρυχωροτέρα ἡ πρὸς τῷ Ε γωνία, εἰ ἐκ τοῦ Α διάμετρος ἀχθείη πρὸς τὸ μέρος τοῦ Β.*

80. *Πᾶσαι γὰρ αἱ* p. 90, 7] [*ἴσα*] *γὰρ τὰ τρίγωνα* [*τὰ ὑ*]*πὸ τῆς ἀκτῖνος* [*τοῦ ὅ*]*μματος καὶ τῶν* [*ἀ*]*πὸ*
20 *τοῦ κέντρου* [*καὶ τῆς ΑΒ*] *περιεχόμενα.*

81. *Μέση ἀνάλογον* p. 92, 23] *ὥστε τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου.*

82. *Ἡ Σ τῆς Β γωνίας μείζων* p. 94, 11] *ἡ πρὸς τῷ Σ γωνία μείζων τῆς πρὸς τῷ Β, ἐπειδὴ παντὸς*
25 *τριγώνου ἡ ἐκτὸς γωνία ἴση ἐστὶ δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον, τριγώνου δὲ τοῦ ΔΒΣ ἐκτός ἐστιν ἡ πρὸς τῷ Σ γωνία.*

---

73. V^{b}. 74. V^{b}. 75. V^{b}. 76. V^{b}. 77. V^{b}. 78. V^{b} (*διά — Στοιχείων* etiam A). 79. V^{b}. 80. V^{b}. 81. V^{2}. 82. V^{2}.

83. *Ἴσα φανήσεται* p. 96, 19] *καθ' ὁποιονοῦν γὰρ μέρος τῆς ΖΔ τιθεμένου τοῦ ὄμματος ἴσαι γωνίαι γίνονται αἱ πρὸς τῷ ὄμματι· ἴσα γὰρ τρίγωνα καὶ ὅμοια γίνεται τὰ ΑΒΘ, ΘΒΓ, καὶ αἱ βάσεις αἱ ΑΘ, ΘΓ ἴσαι καὶ αἱ γωνίαι ἴσαι.*

84. *Μείζων ἄρα* p. 98, 1] *διότι ὑπὸ μείζονος γωνίας ὁρᾶται τῆς ὑπὸ ΑΕΒ τῆς ὑποτεινομένης ὑπὸ τῆς ΑΔΗ περιφερείας.*

85. *Ἐπὶ τῆς ΕΗ* p. 98, 2] *κἂν καθ' ὁτιοῦν, φησίν, μέρος τῆς ΕΗ τίθηται τὸ ὄμμα, [ἄν]ισα φανήσεται.*

86. *Τῆς πρὸς ὀρθάς* p. 98, 3] *τοῦ Ζ δηλονότι καὶ Δ.*

87. *Ἴσα δὲ φανήσεται* p. 98, 22] *δυνατὸν γὰρ ἐπὶ τῶν ΒΓ, ΓΔ καὶ ἀμφοτέρων γράψαι μείζονα τμήματα ἡμικυκλίων, ἅτινα οὐ τεμοῦσιν ἄλληλα, ἀλλ' ἐφάψονται κατὰ τὸ Γ σημεῖον.*

88. *Προηγούμενον* p. 108, 9] *ἀντὶ τοῦ ἐγγύτερον εἶναι δοκεῖ τῷ Ν σημείῳ ἤτοι πορρώτερον τοῦ Σ σημείου.*

89. *Μείζων ἡ Δ γωνία* p. 112, 10] *διὰ τὸ κα' τοῦ α' τῶν Στοιχείων.*

---

83. V^2. 84. V^b. 85. V^2. 86. V^2. 87. V^2. 88. V^b. 89. A.

---

2. Post ΖΔ del. *μετα*. 4. *ΑΒΘ, ΘΒΓ*] *Θ, Θ* e corr. 15. Ante *ΒΓ* del. *Α*. 16. *οὐ*] eras. *ἀλλ'*] eras.

OPTICORUM RECENSIO THEONIS.

Ἀποδεικνὺς τὰ κατὰ τὴν ὄψιν παραμυθίας ἐκόμιζέ τινας προσεπιλογιζόμενος, διότι κατ' εὐθείας γραμμὰς πᾶν φῶς φέρεται. σημεῖον δὲ τούτου μέγιστον τάς τε ἀπὸ τῶν σωμάτων ἀπορριπτουμένας σκιὰς καὶ τὰς ἀπὸ τῶν θυρίδων τε καὶ ὀπῶν φερομένας αὐγὰς κομίζει. ἕκαστον δὲ τούτων οὐκ ἂν ἐγίγνετο, καθάπερ νῦν θεωρεῖται γιγνόμενον, εἴπερ μὴ αἱ ἀπὸ τοῦ ἡλίου φερόμεναι ἀκτῖνες κατά τινας εὐθείας ἐφέροντο. ἐπί τε τῶν παρ' ἡμῖν πυρῶν τὰς ἀποστελλομένας ἔφασκεν αὐγὰς αἰτίας εἶναι τοῦ τε φωτίζεσθαί τινα τῶν παρακειμένων σωμάτων καὶ ἀπορρίπτειν σκιὰς τὰς μὲν ἴσας τοῖς ὑποκειμένοις σώμασι, τὰς δὲ μείζονας, τὰς δὲ ἐλάσσονας τῶν ὑποκειμένων σωμάτων. καὶ ἴσας μὲν ἀπορρίπτειν σκιάς, ὅσα τοῖς ⟨φωτίζουσι πυροῖς⟩ ἴσα ἐστί, τάς τε ἐσχάτας ἀκτῖνας ἐπὶ τούτων συμβαίνειν παραλλήλους γίγνεσθαι καὶ μήτε συναπτούσας αὐτὰς μειοῦν τὴν σκιὰν μήτε μὴν ἐξαπλουμένας αὔξειν, ἀλλ' οἷόν ἐστι τὸ ἐπιπροσθοῦν, τοιαύτην καὶ τῆς σκιᾶς συμμετρίαν φυλάσσειν· ἐλάσσονες δὲ τῶν σωμάτων αἱ σκιαί εἰσιν, ὅταν τὰ ⟨φωτίζοντα πυρὰ⟩ μείζονα ᾖ· τὰς γὰρ ἐσχάτας ἀκτῖνας συμπίπτειν ἑαυταῖς· διὸ δὴ καὶ μειοῦν

Τὰ πρὸ τῶν Εὐκλείδου ὀπτικῶν Vpv. 1. Post *ὄψιν* add. *ὁ Εὐκλείδης* m. rec. V. *ἐκόμιζε*] mut. in *κομίζει* m. rec. V. 2. *διότι*] *δι-* del. m. rec. V. 4. *ἀπορριπτουμένας*] *γρ. γινομένας* m. rec. V, *ἀπορριπτομένας* p. 10. *τε*] *γε* Vv. 14. Post

Cum ea, quae ad uisum adtinent, demonstraret, considerationes quasdam adferebat amplius confirmare studens, omnem lucem secundum rectas lineas ferri. huius enim rei maximum documentum et umbras a corporibus iactas et radios, qui per fenestras rimasque feruntur, adfert. nam haec omnia ita non fierent, ut nunc fieri cernuntur, nisi radii, qui e sole proficiscuntur, secundum rectas quasdam ferrentur. et in ignibus, qui apud nos sunt, radios proficiscentes causas esse dictitabat, cur quaedam corporum obiectorum illustrarentur et umbras iacerent partim corporibus propositis aequales, partim maiores, partim minores corporibus propositis. et aequales umbras ea iacere, quae ignibus illustrantibus aequalia essent, et in iis accidere, ut radii extremi paralleli fierent et neque ipsi concurrentes umbram diminuerent neque uero se diffundentes augerent; sed quale esset id, quod luci officeret, talem etiam eos umbrae mensuram seruare. minores uero corporibus umbrae sunt, ubi ignes illustrantes maiores sunt; nam radios extremos inter se concur-

---

De hac praefatione, Theonis sine dubio a discipulo perscripta, u. Studien über Euklid p. 138—145, ubi textum Graecum et uersionem Germanam edidi, sed ope codicum destitutus.

ἐστί add. *ὡς συμβαίνειν* m. rec. V. 15. *συμβαίνειν*] del. m. rec. V. 16. *γίνεσθαι* p. 18. Post *καί* add. *τήν* m. rec. V.

τὰς σκιάς. μείζους δὲ τῶν σωμάτων αἱ σκιαί εἰσιν, ὅταν τὰ φωτίζοντα πυρὰ ἐλάσσονα ᾖ· τὰς γὰρ ἐσχάτας ἀκτῖνας ἐπὶ τούτων ἐξαπλοῦσθαι συμβαίνει καὶ μεῖζον τὸ σκιαζόμενον μέρος ἀποτελεῖν· οὐδέποτε δ' ἂν τοῦτο
5 συνέβαινεν, εἰ μὴ αἱ ἀπὸ τοῦ πυρὸς φερόμεναι ἀκτῖνες ἐπ' εὐθείας ἐφέροντο. ἐκφανέστατα δὲ τούτων πάντων τοῦτο ἐπὶ τῶν κατασκευαστῶς γινομένων θεωρεῖσθαι συμβαίνει. λύχνου γὰρ ὁπωσδηποτοῦν κειμένου εἰ προστεθείη τούτῳ πτυχίον ἔχον ἐπιτομὴν λεπτοῦ πριο-
10 νίου, ὥστε καὶ τὴν ἐπιτομὴν κατὰ μέσου τοῦ λύχνου πίπτειν, τῷ δὲ πτυχίῳ τούτῳ κατὰ τὰ ἕτερα μέρη παρατεθείη πτυχίον ἔγγιον, ᾧ προσπεσεῖται ἡ αὐγὴ ἡ διὰ τῆς ἐντομῆς φερομένη, πάντως τὴν προσπίπτουσαν αὐγὴν τῷ πτυχίῳ εὐθείαις γραμμαῖς περιεχομένην
15 εὑρήσομεν καὶ τὴν ἐπιζευγνύουσαν τό τε μέσον τοῦ λύχνου καὶ τὴν ἐντομὴν τοῦ πτυχίου κατὰ τὴν αὐτὴν εὐθεῖαν οὖσαν.

ἐναργοῦς οὖν ὄντος τοῦ, ὅτι πᾶν φῶς κατ' εὐθεῖαν γραμμὴν φέρεται, καὶ πᾶσι προδήλου μεταβαίνειν ἐπὶ
20 τὴν ὄψιν ἠξίου καὶ τὰς ἀπ' αὐτῆς ἐκχεομένας ἀκτῖνας καὶ ὁμολογεῖν κατ' εὐθείας φέρεσθαι γραμμὰς καὶ ταύτας ἐν διαστήμασι, καὶ διὰ τοῦτο μηδὲ τὰ ὁρώμενα ἅμα ὅλα ὁρᾶσθαι, ὑπόμνησιν φέρων τοιαύτην· πολλάκις γὰρ βελόνης ἤ τινος τοιούτου ἑτέρου σωματίου ἐκ-
25 ριφέντος εἰς τὸ ἔδαφος φιλοτιμότερόν τινες προσεκάθισαν τῇ ζητήσει καὶ τὸν αὐτὸν τόπον πολλάκις ἐμάτευσαν οὐδενὸς ἐπιπροσθοῦντος τῷ ζητουμένῳ σωματίῳ·

---

2. φωτίζοντα V, sed corr. 5. συμβαίνειν p. μή] corr. ex μί v. 9. ἔχων v, sed corr. 11. πίπτειν] ν in ras. v, add. m. rec. V. 12. πτυχίον] supra scr. πυκτίον m. rec. V. ἔγγειον V, corr. m. rec. 13. πάντος v, corr. m. 2. 16. κατά

rere; quare eos etiam umbras diminuere. maiores autem corporibus umbrae sunt, ubi ignes illustrantes minores sunt; in iis enim accidit, ut radii extremi se diffundant et partem adumbratam maiorem efficiant. hoc autem nunquam accideret, nisi radii ab igne profecti secundum rectas ferrentur. manifestissime autem omnium hoc in iis cerni potest, quae proprie ad eam rem comparantur. nam si ad lucernam quoquo modo collocatam adponitur tabella rimam habens tenui serrula factam, ita ut rima mediae lucernae opponatur, et in altera parte huic tabellae satis propinqua alia tabella collocatur, in quam cadet radius, qui per rimam fertur, semper radium in tabellam cadentem rectis lineis comprehensum inueniemus et lineam, quae mediam lucernam et rimam tabellae coniungit, in eadem recta positam.[1])

iam cum manifestum esset et omnibus constaret, omnem lucem secundum rectam lineam ferri, ad uisum radiosque ab eo effusas transiri uolebat atque concedi, eos secundum lineas rectas ferri et illas quidem inter se distantes, et ea de causa ne quae cernuntur quidem, tota simul cerni, haec admonens. saepe enim acu alioue eiusmodi corpusculo humi coniecto homines satis studiose quaerendo operam dederunt et saepe eundem locum perscrutati sunt, cum nihil corpusculo

1) Debuit sic dici: lineam, quae mediam lucernam rimamque prioris tabellae et punctum illustratum alterius tabellae coniungat, semper rectam esse.

corr. ex *καί* m. rec. V. 18. *οὖν*] comp. V, supra scr. *οὖν* m. rec. 19. *μεταβαίνων* p. 20. *ἠξίου*] *ἀξιοῖ* m. rec. V. 21. *καί* (pr.)] del. m. rec. V. 22. *διαστήμασιν* Vv. 25. *προσεκάθησαν* v. 26. *τρόπον* p. *ἐμάστευσαν* V.

εἶτα μέντοι γε ὕστερον ἐπιβάλλοντες τὴν ὄψιν τῷ τόπῳ, ἐν ᾧπερ ἦν τὸ σωμάτιον, εἶδον τὴν βελόνην. δῆλον οὖν, ὡς, ὅτε οὐχ ἑωρᾶτο τὸ ἐξερριμμένον, οὐδὲ ὁ τόπος, ἐν ᾧ ἦν, ἑωρᾶτο· ὥστε τοῦ ὑπὸ τὴν ὄψιν τοῦ ζητοῦντος κειμένου τόπου μὴ ἅπαντα τὰ μέρη θεωρεῖσθαι. εἰ γὰρ ἐθεωρεῖτο, καὶ τὸ ζητούμενον ἂν ἑωρᾶτο· οὐχ ἑωρᾶτο δέ. ἐπί τε τῶν ἀτενιζόντων τοῖς βιβλίοις συνιστάμενος ἔφασκε μηδὲ τούτους ἂν δύνασθαι πάντα τὰ ἐν τῇ σελίδι γράμματα ὁρᾶν. πολλὰ γοῦν ἀναγκαζομένους δεῖξαι τῶν σπανίως γραφομένων γραμμάτων μὴ δύνασθαι δεῖξαι διὰ τὸ μὴ πρὸς πάντα τὰ γράμματα τὰς ὄψεις φέρεσθαι, ἀλλ' ἐκ διαστημάτων ταύτας ὑπάρχειν καὶ πολλὰ τῶν κατατεταγμένων μὴ θεωρεῖν. ὥστε ἐκ τούτου φανερόν ἐστι, διότι οὐδὲ ὁ τόπος τῆς σελίδος ὅλος ὁραθήσεται. καὶ ἐπὶ τῶν ἄλλων θεαμάτων τὸ αὐτὸ συμβαίνει. ὥστε οὐχ ὁραθήσεται ἅμα ὅλα τὰ ὁρώμενα· δοκεῖ δὲ ὁρᾶσθαι διὰ τὸ κινεῖσθαι τὰς ὄψεις ὑπερβολῇ τάχους μηδὲν ἀπολειπούσας, τουτέστι κατὰ συνέχειαν παραφερομένας καὶ μὴ ἁλλομένας.

πρὸς δὲ τὸ τῇ ὄψει μὴ προσπίπτειν τι εἴδωλον ἀπὸ τοῦ ὁρωμένου εἰς τὸ κινῆσαι αὐτὴν πρὸς τὸ καταλαβεῖν τὸ ὁρώμενον ἔφερεν αἰτίας τοιαύτας· καὶ γὰρ ἐπὶ τοῦ ζητουμένου σώματος καὶ τοῦ τῷ βιβλίῳ ἀτενίζοντος ἀπορίαν κομίζων ἔλεγεν· εἰ ἦν κατ' εἰδώλων ἔμπτωσιν τὸ ὁρατικὸν πάθος, καὶ ἀπὸ παντὸς σώματος διηνεκῶς εἴδωλα ἀπέρρεεν, ἃ κινεῖ ἡμῶν τὴν αἴσθησιν,

3. οὖν] om. vp, m. rec. V. ὡρᾶτο V, corr. m. 1. ἐξερριμμένον Vp. 5. θεωρεῖσθαι] -ει- in ras. m. 1 V. 7. ἀτενιζόντων v, sed corr. 8. ἔφασκεν Vv. συνιστάμενος ἔφασκε] del., supra scr. ὁμοίως φησί m. rec. V. 9. πολλάκις V, corr. m. rec. 14. ἐστι, διότι] mut. in ἐστιν ὅτι m. rec. V. 15. ἄλλων αὐτῶν V, corr. m. rec. 17. ἅμα] supra scr. m. rec. V. 18. Post ὑπερβολῇ ras. 1 litt. v. τάχους] corr. ex τάχος m. 2 v.

quaesito officeret. postea uero uisu in eum locum conuerso, ubi corpusculum erat, acum conspexerunt. manifestum igitur est, cum res humi coniecta non cerneretur, tum ne locum quidem, in quo esset, cerni. quare non omnes partes loci sub oculis quaerentis positi cernuntur. si enim cernerentur, etiam res quaesita cerneretur; uerum non cernebatur. et in iis hominibus, qui libros perlustrant, dictitabat disputatione eo conuersa, ne eos quidem omnes litteras in pagina scriptas cernere posse. saltim cum quasdam litterarum rariorum monstrare cogerentur, multas eos monstrare non posse, quia uisus non ad omnes litteras ferrentur, sed inter se distarent et multa eorum, quae subiicerentur, non cernerent. quare hinc manifestum est, ne paginae quidem locum totum cerni. et in ceteris uisis idem accidit. itaque quae cernuntur, tota simul non cernentur. uidentur autem cerni, quia uisus mira celeritate mouentur nihil omittentes, hoc est continue transcurrentes nec desultantes.[1])

ad demonstrandum autem, ab eo, quod cernitur, ad uisum imaginem quandam non peruenire, quae eum commoueat ad recipiendum id, quod cernitur, has rationes adferebat. nam et de corpusculo quaesito et de homine librum perlustrante dubitationem adferens dicebat: si adfectus uidendi imaginibus adfluentibus efficeretur et ab omnibus corporibus perpetuo imagines

1) Hucusque def. 1 explicatur.

τουτέστιν Vv. 20. Post *τό* add. *μή* m. rec. V. *ὄψη* v. *μή*] addidi, om. Vpv. 21. *κινεῖσθαι* p. *τό* (alt.)] corr. ex *τοῦτο* m. rec. V. 22. *αἰτίαν τοιαύτην* p. 26. *ἤδωλα* v, sed corr. *ἀπέρρει* p.

τίς ἡ αἰτία γίγνεται, δι' ἣν οὐχ ὁρᾷ ὅ τε ζητῶν τὴν βελόνην καὶ ὁ τῷ βιβλίῳ ἀτενίζων πάντα τὰ γράμματα; πότερόν ποτε διὰ τὸ μετεωρίζεσθαι τῇ διανοίᾳ; ἀλλ' οὐδὲν ἧττον ἐπιλογιζόμενοι ζητοῦσι καὶ ὁλοσχερῶς οὐχ εὑρίσκουσι, πολλάκις δὲ ὁμιλοῦντες ἑτέροις καὶ περισπώμενοι τῇ διανοίᾳ εὑρίσκουσι θᾶττον. ἀλλ' οὐ πάντα τὰ εἴδωλα εἰσκρίνεται εἰς τὴν ὅρασιν; καὶ τίς αἰτία τοῦ ἀποκληροῦσθαι τὰ εἰσκρινόμενα; καὶ μὴν τὴν φύσιν ἔφασκε κατὰ τὰ ζῶα τὰ μὲν τῶν αἰσθητηρίων πρὸς ὑποδοχὴν εὔθετα κατεσκευακέναι, τὰ δὲ μή. ἀκοὴν μὲν γὰρ καὶ γεῦσιν καὶ ὄσφρησιν κοῖλα κατεσκεύακεν ἐντὸς ὡς ἔξωθεν αὐταῖς προσπίπτειν σώματα κινήσοντα τὰς αἰσθήσεις ταύτας. ἀκοῇ μὲν γὰρ φωνὴ προσπίπτουσα τόπον ἐπιτήδειον ὤφειλεν εὑρίσκειν πρὸς τὸ ἀναμεῖναι καὶ μὴ κατὰ τὴν πρόσπτωσιν εὐθέως ἀποπαλθεῖσαν τήν τε αἴσθησιν ἀκίνητον διαφυλάττειν καὶ τὴν ἐπιφερομένην συγχέαι φωνήν. ὁμοίως δὲ καὶ ὄσφρησιν· ἐπὶ μὲν γὰρ γεύσεως τί δεῖ καὶ λέγειν; διὸ καὶ μάλιστά πως αὗται αἱ αἰσθήσεις κοῖλαί τε καὶ ἀντροειδεῖς κατεσκευάσθησαν πρὸς τὸ ἐμμένειν τὰ προσπίπτοντα σώματα πλείονας χρόνους. καὶ ἐπὶ τῆς ὁράσεως οὖν, εἴπερ ἔξωθεν αὐτῇ προσέπιπτε τὰ κινήσοντα αὐτὴν σώματα, καὶ μὴ αὐτὴ ἐξαπέστελλέ τι ἀφ' ἑαυτῆς, ἔδει τὴν κατασκευὴν αὐτῆς κοίλην τε καὶ εὔθετον πρὸς ὑποδοχὴν τῶν προσπιπτόντων σωμάτων εἶναι· νυνὶ δὲ θεωρεῖται τοῦτο οὐχ οὕτως ἔχον, ἀλλὰ μᾶλλον σφαιροειδὴς οὖσα θεωρεῖται ἡ ὅρασις.

---

1. γίνεται p. 5. εὑρήσκουσι v, sed corr. 6. εὑρήσκουσι v, sed corr. 9. ἔφασκεν Vp. τά (pr.)] τό V. 10. κατασκευακέναι v, et V, sed corr. m. rec. 11. μέν] om. v. 12. ἔξοθεν v, corr. m. 2. 14. ἐπιτήδιον V. 15. ἀναμῆναι v,

effluerent, quae sensum nostrum adficerent, quaenam causa est, cur is, qui acum quaerit librumque perlustrat, acum omnesque litteras non conspiciat? num quod cogitatione districtus sit? at etiam adtenti quaerunt et nihilo minus prorsus non inueniunt, saepe uero cum aliis colloquentes et cogitatione diducti celerius inueniunt. an non omnes imagines in uisum penetrant? at quaenam causa est, cur eae, quae penetrant, seligantur? praeterea dictitabat, naturam in animalibus alia instrumentorum, quibus sentiant, ad recipiendum apta comparasse, alia non apta. nam instrumenta audiendi, sapiendi, odorandi introrsus caua comparauit, ut extrinsecus ad ea corpuscula adcidant ad sensus illos mouendos. nam uox ad aurem adcidens locum aptum inuenire debebat, ut maneret neue in adcidendo statim repulsa sensum immotum relinqueret uocemque adlatam confunderet. et de sensu odorandi similiter. nam de sapiendo quid opus est uel uerbum facere? quare etiam haec maxime instrumenta sentiendi caua et cauernis similia comparata sunt, ut corpora adcidentia diutius manerent. itaque uisum quoque, si corpora, quae eum mouerent, extrinsecus adciderent nec ipse ex se aliquid emitteret, cauum comparatum esse necesse erat et ad corpora adcidentia recipienda aptum. nunc uero hoc non ita esse adparet, sed potius sphaerae similis oculus esse cernitur.

---

sed corr. 19. αἱ] ins. m. rec. V. 21. πλείονα χρόνον m. rec. V. 22. ἤπερ v, sed corr. προσέπιπτεν V. 23. ἐξαπέστελλεν V v. Post ἑαυτῆς add. πρὸς ἀντίληψιν τῶν ὁρατῶν m. rec. V. 26. ἔχων v, sed corr. σφαιροειδεῖς v, sed. corr.

πρὸς οὖν τὸ πιστὸν εἶναι κατὰ τὸ παρὸν τὸ ἀκτῖνας εἶναι τὰς ἐκχεομένας καὶ κινούσας τὸ ὁρατικὸν πάθος ἀρκούντως ἐδόκει εἰρῆσθαι, πρὸς δὲ τὸ τὰς ἐν τῷ αὐτῷ ἐπιπέδῳ ταῖς ὄψεσι κειμένας περιφερείας εὐθείας φαίνεσθαι ἔλεγε τάδε· διότι ἡ ἐν τῷ αὐτῷ ἐπιπέδῳ κειμένη ὄψις ᾧτινιοῦν θεωρητῷ τοιαύτη ἐστὶν ὥστε μήτε ὑψηλοτέρα εἶναι τοῦ θεωρουμένου μήτε ταπεινοτέρα· τὸ γὰρ ἐν τῷ αὐτῷ ἐπιπέδῳ κεῖσθαι τοῦτ' ἔστιν. εἰ οὖν οὔτε ταπεινοτέρα οὔτε ὑψηλοτέρα ἐστὶν ἡ ὄψις τῆς ἐν τῷ ἐπιπέδῳ γεγραμμένης περιφερείας, οὐχὶ τοῖσδε μὲν τοῖς μέρεσιν ὑψηλοτέρας προσβάλλει ἀκτῖνας τοῖσδε δὲ ταπεινοτέρας, ἀλλὰ πᾶσι τοῖς μέρεσι τῆς περιφερείας ἴσας τὰς διὰ τοῦ ἐπιπέδου φερομένας ἀκτῖνας προσβάλλει ὥστε τὴν αὐτὴν γίγνεσθαι αἰτίαν τοῦ τε τὸ ἐπίπεδον εὐθείας φαντασίαν ἀπολιπεῖν καὶ τὴν ἐν τῷ ἐπιπέδῳ γεγραμμένην περιφέρειαν. καὶ γὰρ τὸ ἐπίπεδον τὸ ἐπ' εὐθείας κείμενον τῇ ὄψει αὐτὸ μὲν ἀθεώρητόν ἐστὶ διὰ τὸ μὴ προσπίπτειν αὐτῷ μηδεμίαν τῶν ἀπὸ τῆς ὄψεως ἐκχεομένων ἀκτίνων, τὸ δὲ πέρας αὐτοῦ θεωρεῖται, ὅπερ ἐστὶν ἡ περιφέρεια. λέγει δὲ [διὰ] τὴν πρὸς τῇ ὄψει κειμένην γραμμήν, ἥτις τοῖς λοιποῖς τοῦ ἐπιπέδου μέρεσιν ἐπιπροσθοῦσα ἀθεώρητον ποιεῖ τὸ ἐπίπεδον. ἡ δὲ αὐτὴ αἰτία ἡ περὶ τοῦ ἐπιπέδου τοῦ ἐπ' εὐθείας κειμένου τῷ ὄμματι ποιεῖ εὐθείας ἀποδιδόναι φαντασίαν καὶ τῶν περιφερειῶν τῶν ἐν τῷ αὐτῷ ἐπιπέδῳ κειμένων τῷ ὄμματι. φαίνεσθαι δὲ τὸ μὲν μεῖζον, ὅταν πλείονες ὄψεις ἐπιβάλλωσιν, τὸ δὲ ἴσον,

1. τό (pr.)] τοῦτο V, corr. m. rec. εἶναι] in ras. m. rec. V. 4. ταῖς] corr. ex τάς m. rec. V. 5. ἔλεγεν V, ν eras. v. ἡ] om. pv. αὐτῷ] bis p. et v, sed corr. 8. ταπεινωτέρα V, et v, sed corr. 9. ὑψιλοτέρα v, sed corr. ἐστίν] -ίν in ras. m. 1 V. 14. γίνεσθαι p. 17. ὄψη v. 20. περιφέρεια]

ad confirmandum igitur in praesenti, radios effundi et adfectum cernendi mouere, satis dictum esse uidebatur, ad demonstrandum autem, arcus in eodem plano positos, in quo oculos, rectas adparere[1]), haec dicebat: oculum in eodem plano positum cum quolibet uiso eius modi esse, qui neque altior uiso neque demissior esset; hoc ipsum enim esse in eodem plano positum esse. iam si oculus neque altior neque demissior arcu in plano descripto est, non his partibus altiores, illis autem demissiores radios adiicit, sed omnibus partibus arcus aequales radios, qui per planum feruntur, adiicit, ita ut eadem sit causa, cur planum rectae imaginem relinquat, et cur arcus in plano descriptus idem efficiat. etenim planum ad oculum in directo positum ipsum quidem non cernitur, quia nullus radiorum ex oculo effusorum ad id adcidit, uerum terminus eius cernitur, hoc est ambitus (lineam dicit ad oculum positam, quae reliquis partibus plani officiens prohibet, ne planum cernatur).[2]) eadem autem causa, quae de plano ad oculum in directo posito ualet, etiam efficit, ut ex arcubus in eodem plano positis, in quo oculus est, imago rectae proueniat. aliud autem maius adparere, ubi plures radii[3]) adcidant, aliud aequale, ubi aequales,

1) Prop. 22 explicatur et confirmatur.

2) Haec uerba discipulus de suo addidit ad explicandum uocabulum *περιφέρεια*.

3) Debuit dici *μείζονες γωνίαι*. ceterum quae sequuntur a uocabulo *φαίνεσθαι* lin. 26, male cum praecedentibus cohaerent nec hic locum habere uidentur. nisi lacuna maior est, discipulus uerba Theonis parum intellexit.

εὐθεῖα γραμμή v. 21. *διά*] deleo. *ὄψη* v. *κειμένη* v. 23. *ἡ*(alt.)] in ras. V. 25. *ἀποδιδόναι*] *ἀποδοθῆναι*? Post *καί* add. *περί* m. rec. V. 27. *πλείονος* V, corr. m. rec. *ἐπιβάλλωσι* p.

ὅταν ἴσαι, τὸ δὲ ἔλασσον, ὅταν ἐλάσσονες γίγνωνται τῶν ὄψεων οἷον γωνίαι τινὲς πρὸς τῷ ὄμματι.

Ὅροι.

α΄. Ὑποκείσθω τὰς ἀπὸ τοῦ ὄμματος [ὄψεις κατ'] εὐθείας γραμμὰς φέρεσθαι διάστημά τι ποιούσας ἀπ' ἀλλήλων.

β΄. καὶ τὸ μὲν ὑπὸ τῶν ὄψεων περιεχόμενον σχῆμα εἶναι κῶνον τὴν κορυφὴν μὲν ἔχοντα [πρὸς τῷ ὄμματι, τὴν δὲ βάσιν πρὸς τοῖς πέρασι τῶν ὁρωμένων.

γ΄. καὶ ὁρᾶσθαι μὲν ταῦτα, πρὸς ἃ ἂν αἱ ὄψεις προσπίπτωσιν, μὴ ὁρᾶσθαι δέ, πρὸς ἃ ἂν μὴ προσπίπτωσιν αἱ ὄψεις.

δ΄. καὶ τὰ μὲν ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεσθαι, τὰ δὲ ὑπὸ ἐλάσσονος ἐλάσσονα, ἴσα δὲ τὰ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα.

ε΄. καὶ τὰ μὲν ὑπὸ μετεωροτέρων ἀκτίνων ὁρώμενα μετεωρότερα φαίνεσθαι, τὰ δὲ ὑπὸ ταπεινοτέρων ταπεινότερα.

ϛ΄. καὶ ὁμοίως τὰ μὲν ὑπὸ δεξιωτέρων ἀκτίνων ὁρώμενα δεξιώτερα φαίνεσθαι, τὰ δὲ ὑπὸ ἀριστερωτέρων ἀριστερώτερα.

ζ΄. τὰ δὲ ὑπὸ πλειόνων γωνιῶν ὁρώμενα ἀκριβέστερον φαίνεσθαι.

---

2. οἵων v, sed corr. 3. ὅροι] mg. m. 1 V; ὅροι ὀπτικοί ins. m. 2 p; ἐντεῦθεν οἱ ὅροι τῶν Εὐκλείδου ὀπτικῶν mg. m. rec. v. numeros om. Vpv. 8. τῷ] corr. ex τό m. 2 v. 9. πέρασιν Vv. 10. αἱ ὄψεις] ras. 3 litt. v. 11. προσπίπτωσιν (pr.)] -πτω- supra scr. m. 1 v; praeterea supra add. β;

aliud minus, ubi minores quasi anguli quidam radiorum ad oculum existunt.

Definitiones.

1. Supponamus, radios ex oculo secundum rectas lineas ferri inter se distantes.

2. et figuram radiis comprehensam conum esse, qui uerticem ad oculum, basim autem ad terminos uisorum habeat.

3. et ea cerni, ad quae radii adcidant, non cerni autem, ad quae radii non adcidant.

4. et ea, quae a maiore angulo cernantur, maiora adparere, minora autem, quae a minore, aequalia autem, quae ab aequalibus angulis cernantur.

5. et ea, quae sublimioribus radiis cernantur, sublimiora adparere, quae autem a demissioribus, demissiora.

6. et similiter ea, quae a dexterioribus radiis cernantur, dexteriora adparere, quae autem a sinistrioribus, sinistriora.

7. ea autem, quae a pluribus angulis[1]) cernantur, clarius adparere.

---

1) Exspectaueris *ὄψεων*.

---

seq. *αἱ ὄψεις*$^{\alpha}$; *προσπίπτωσι* p. *προσπίπτωσιν* (alt.)] *προσπίσιν* v, corr. m. 2. 14. *δέ* (pr.)] *δ'* p. 19. *δεξιοτέρων* V. 20. *ἀριστεροτέρων* V. 22. *δέ*] *δ'* p; *καὶ ἔτι τὰ ὑπό* m. rec. V.

α'.

Οὐδὲν τῶν ὁρωμένων ἅμα ὅλον ὁρᾶται.

ἔστω γὰρ ὁρώμενόν τι τὸ ΑΔ, ὄμμα δὲ ἔστω τὸ Β, ἀφ' οὗ προσπιπτέτωσαν ὄψεις αἱ ΒΑ, ΒΓ, ΒΚ, ΒΔ. οὐκοῦν ἐπεὶ ἐν διαστήματι φέρονται αἱ προσπίπτουσαι ὄψεις, οὐκ ἂν προσπίπτοιεν συνεχεῖς πρὸς τὸ ΑΔ. ὥστε γένοιτο ἂν καὶ κατὰ τὸ ΑΔ διαστήματα, πρὸς ἃ αἱ ὄψεις οὐ προσπεσοῦνται. οὐκ ἄρα ὀφθήσεται ἅμα ὅλον τὸ ΑΔ. δοκεῖ δὲ ὁρᾶσθαι ἅμα τῶν ὄψεων ταχὺ παραφερομένων.

β'.

Τῶν ἴσων μεγεθῶν ἐν διαστήματι κειμένων τὰ ἔγγιον κείμενα ἀκριβέστερον ὁρᾶται.

ἔστω ὄμμα μὲν τὸ Β, ὁρώμενον δὲ τὸ ΓΔ καὶ τὸ ΚΛ· χρὴ δὲ νοεῖν αὐτὰ ἴσα καὶ παράλληλα, ἔγγιον δὲ ἔστω τὸ ΓΔ· καὶ προσπιπτέτωσαν ὄψεις ὡς αἱ ΒΓ, ΒΔ, ΒΚ, ΒΛ. οὐ γὰρ ἂν εἴποιμεν, ὡς αἱ ἀπὸ τοῦ Β ὄμματος πρὸς τὸ ΚΛ προσπίπτουσαι ὄψεις [ὡς] διὰ τῶν Γ, Δ σημείων ἐλεύσονται. ἢ γὰρ ἂν τριγώνου τοῦ ΒΔΛΚΓΒ ἡ ΚΛ μείζων ἂν ἦν τῆς ΓΔ· ὑπόκειται δὲ καὶ ἴση. οὐκοῦν τὸ ΓΔ ὑπὸ πλειόνων ὄψεων ὁρᾶται ἤπερ τὸ ΚΛ. ἀκριβέστερον ἄρα φανήσεται τὸ ΓΔ τοῦ ΚΛ.



γ'.

Ἕκαστον τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενόμενον οὐκέτι ὁρᾶται.

---

6. *προσπίπτειεν* v. 7. *καί*] del. m. rec. V. 12. *διαστήμασι* m. rec. V. Post *κειμένων* add. *ἀνίσοις* m. rec. V. 13. *ἔγγειον* V, corr. m. rec. 14. *ὁρώμεναν* m. rec. V. 15. *ἔγγειον* V, corr. m. rec. 18. *αἱ*] om. p. 19. *τό*] corr. ex

1.

Nihil eorum, quae cernuntur, simul totum cernitur.

cernatur enim $A\Delta$, oculum autem sit B, a quo radii adcidant BA, $B\Gamma$, BK, $B\Delta$. itaque quoniam radii adcidentes in distantia feruntur, continui non adcident ad $A\Delta$ [def. 1]. quare in $A\Delta$ quoque interualla orientur, ad quae radii non adcident. ergo $A\Delta$ simul totum non cernetur. uidetur autem simul cerni, quia radii celeriter transcurrunt.



2.

Aequalium magnitudinum in distantia positarum eae, quae propius positae sunt, clarius cernuntur.

oculus sit B, cernantur autem $\Gamma\Delta$, KA. oportet autem ea aequalia et parallela fingere, et propius sit $\Gamma\Delta$. et radii adcidant ut $B\Gamma$, $B\Delta$, BK, BA. neque enim contendere possumus, radios a B oculo ad KA adcidentes per puncta Γ, Δ ituros esse. ita enim in triangulo $B\Delta AK\Gamma B$ recta KA maior esset recta $\Gamma\Delta$. at supposuimus, eas aequales esse. itaque $\Gamma\Delta$ a pluribus radiis cernitur quam KA. ergo [def. 7] $\Gamma\Delta$ clarius adparet quam KA.

3.

Omnia, quae cernuntur, longitudinem quandam distantiae habent, ubi cum posita sunt, non iam cernuntur.

τήν m. rec. V, τά v. ὡς] del. m. rec. V. 21. $B\Delta AK\Gamma$ p, et v, sed post Γ ras. 1 litt. 22. ἄν] del. m. rec. V. 27. τι] τ seq. ras. 1 litt. v. 28. οὗ] ἐν ᾧ m. rec. V. γενομένου p et corr. m. rec. in γενόμενον V v.

ἔστω γὰρ ὄμμα μὲν τὸ Β, ὁρώμενον δὲ τὸ ΓΔ. φημὶ δή, ὅτι τὸ ΓΔ ἔν τινι ἀποστήματι γενόμενον οὐκέτι ὁραθήσεται. γεγενήσθω γὰρ τὸ ΓΔ ἐν τῷ μεταξὺ διαστήματι τῶν ὄψεων, ἐφ' οὗ τὸ Κ. οὐκοῦν πρὸς τὸ Κ οὐδεμία τῶν ἀπὸ τοῦ Β ὄψεων προσπεσεῖται [πρὸς ὃ δέ γε αἱ ὄψεις οὐ προσπίπτουσιν, ἐκεῖνο οὐχ ὁρᾶται]. ἕκαστον ἄρα τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενόμενον οὐκέτι ὁρᾶται.



δ'.

Τῶν ἴσων διαστημάτων ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντων τὰ ἐκ πλείονος ἀποστήματος ὁρώμενα ἐλάττω φαίνεται.

ἔστω γὰρ ἴσα τὰ ΒΓ, ΓΔ, ΔΖ, ὄμμα δὲ τὸ Κ, ἀφ' οὗ προσπιπτέτωσαν ὄψεις αἱ ΚΒ, ΚΓ, ΚΔ, ΚΖ· ἡ δὲ ΚΒ πρὸς ὀρθὰς ἔστω τῇ ΒΖ. ἐπεὶ οὖν ἐν ὀρθογωνίῳ τριγώνῳ τῷ ΚΒΖ ἴσαι εἰσὶν αἱ ΒΓ, ΓΔ, ΔΖ, μείζων ἐστὶν ἡ μὲν Ε γωνία τῆς Η γωνίας, ἡ δὲ Η γωνία τῆς Θ γωνίας. μεῖζον ἄρα φαίνεται τὸ μὲν ΒΓ τοῦ ΓΔ, τὸ δὲ ΓΔ τοῦ ΔΖ.

ε'.

Τὰ ἴσα μεγέθη ἄνισον διεστηκότα ἄνισα φαίνεται, καὶ μεῖζον αἰεὶ τὸ ἔγγιον τοῦ ὄμματος κείμενον.

---

1. ΓΔ — 2. τό] add. m. 2 v. 2. φημὶ δή] λέγω v. 7. πρός — 8. ὁρᾶται] om. p. 8. ἐκείνω v, sed corr. 10. γενομένου v, et V, sed corr. m. rec. 13. διαστημάτων] μεγεθῶν m. rec. V. 16. Post ἴσα add. μεγέθη m. rec. V. 22. Post

sit enim oculus *B*, cernatur autem *ΓΔ*. dico igitur, *ΓΔ* in quadam distantia positum non iam cerni. ponatur enim *ΓΔ* in distantia [def. 1] radiorum uelut *K*. itaque ad *K* nullus radius a *B* adcidet. uerum ad quod radii non adcidunt, id non cernitur [def. 3]. ergo omnia, quae cernuntur, longitudinem quandam distantiae habent, ubi cum posita sunt, non iam cernuntur.

4.

Longitudinum aequalium in eadem recta positarum, quae e distantia maiore cernuntur, minores adparent.



sint enim aequales *BΓ*, *ΓΔ*, *ΔZ*, oculus autem sit *K*, a quo adcidant radii *KB*, *KΓ*, *KΔ*, *KZ*; *KB* autem ad *BZ* perpendicularis sit. iam quoniam in triangulo rectangulo *KBZ* aequales sunt *BΓ*, *ΓΔ*, *ΔZ*, erit $\angle E > H$, $\angle H > \Theta$. ergo *BΓ* maius adparet quam *ΓΔ*, *ΓΔ* autem maius quam *ΔZ*.

5.

Magnitudines aequales inaequaliter distantes inaequales adparent, et semper maior, quae oculo propior est.

ΔZ add. *τῶν ἄρα μεγεθῶν ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντων τὰ ἐκ πλείονος ἀποστήματος ὁρώμενα ἐλάττω φαίνεται* m. rec. V. 25. *ἔγγειον* V.

ἔστω γὰρ ἴσον τὸ ΓΔ τῷ ΚΛ, ὄμμα δὲ ἔστω τὸ Β, ἀφ' οὗ προσπιπτέτωσαν ὄψεις αἱ ΒΔ, ΒΛ, ΒΚ, ΒΓ. οὐκοῦν τὸ ΓΔ ὑπὸ μείζονος γωνίας ὁρᾶται ἤπερ τὸ ΚΛ· μεῖζον ἄρα φαίνεται τὸ ΓΔ τοῦ ΚΛ.



ϛ'.

Τὰ παράλληλα τῶν διαστημάτων ἐξ ἀποστήματος ὁρώμενα ἀνισοπλατῆ φαίνεται.

ἔστω γὰρ τὸ ΒΓ τῷ ΔΖ παράλληλον διάστημα, ὄμμα δὲ ἔστω τὸ Κ. λέγω, ὅτι τὰ ΒΓ, ΔΖ ἀνισοπλατῆ φαίνεται, καὶ μεῖζον ἀεὶ τὸ ἔγγιον διάστημα τοῦ πορρώτερον.

προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΞ, ΚΛ, ΚΠ, ΚΝ, ΚΒ, ΚΔ, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΞΛ, ΠΝ, ΒΔ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ ὑπὸ ΞΚΛ γωνία τῆς ὑπὸ ΠΚΝ γωνίας, μείζων ἄρα φαίνεται καὶ ἡ ΞΛ εὐθεῖα τῆς ΠΝ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΠΝ εὐθεῖα μείζων φαίνεται τῆς ΒΔ εὐθείας. οὐκέτι οὖν ὀφθήσεται παράλληλα τὰ διαστήματα, ἀλλ' εἰς ἔλαττον καὶ ἀνισοπλατῆ. τὰ ἄρα παράλληλα τῶν διαστημάτων ἐξ ἀποστήματος ὁρώμενα ἀνισοπλατῆ φαίνεται.

οὕτω μέν, εἰ ἐν τῷ αὐτῷ ἐπιπέδῳ τὸ ὄμμα τῷ ὁρωμένῳ κέοιτο, εἰ δὲ μετεωρότερον εἴη τὸ ὄμμα, οὕτως.

ἔστω γὰρ τὸ Κ, καὶ ἤχθω ἀπὸ τοῦ Κ ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἡ ΚΑ, ἀπὸ δὲ τοῦ Α ἐπὶ τὴν ΖΛ ἡ ΑΜ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ο, καὶ προσ-

---

10. ΔΖ] Ζ corr. in Ε m. rec. V. 11. Ante ὄμμα add. τὰ δὲ παράλληλα τὰ ΞΛ, ΠΝ, ΒΔ V. 12. ἔγγειον V. 14. ΚΞ] Ξ corr. in Ζ m. rec. V; item lin. 15, 16, 17. 16. μεῖζον v. ΞΚΛ] ΞΛ v. γωνία] in ras. v. ὑπό (alt.)]

sit enim $\Gamma\Delta = K\Lambda$, oculus autem sit B, a quo radii adcidant $B\Delta$, $B\Lambda$, BK, $B\Gamma$. itaque $\Gamma\Delta$ ab angulo maiore cernitur quam $K\Lambda$. ergo $\Gamma\Delta$ maior adparet quam $K\Lambda$ [def. 4].

6. [illegible]

Longitudines parallelae, quae e distantia cernuntur, latitudinem inaequalem habere uidentur.

sint enim longitudines parallelae $B\Gamma$, ΔZ, oculus autem sit K. dico, $B\Gamma$, ΔZ latitudinem inaequalem habere uideri, et latitudinem propiorem semper maiorem adparere longinquiore.

adcidant radii $K\Xi$, $K\Lambda$, $K\Pi$, KN, KB, $K\Delta$, et ducantur rectae $\Xi\Lambda$, ΠN, $B\Delta$. iam quoniam est



$$\angle \Xi K\Lambda > \Pi KN,$$

etiam recta $\Xi\Lambda$ maior adparet quam ΠN. eadem de causa etiam recta ΠN maior adparet recta $B\Delta$. itaque longitudines non iam parallelae uidebuntur, sed latitudinem diminuentes inaequalemque habentes. ergo longitudines parallelae, quae e distantia cernuntur, latitudinem inaequalem habere uidentur.

ita igitur, si oculus in eodem plano positus est, quo id quod cernitur; sin oculus eleuatior est, hoc modo.

sit enim K, et a K ad planum subiacens perpendicularis ducatur KA, ab A autem ad $Z\Delta$ recta AM et producatur ad O, radii autem adcidant KB, KH,

om. v. 17. μεῖζον v. 18. μεῖζον v. 22. φαίνονται v. 27. Post ZΔ add. κάθετος m. 2 v.

πιπτέτωσαν ἀκτῖνες αἱ ΚΒ, ΚΗ, ΚΖ, ΚΔ, ΚΝ, ΚΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΜ, ΚΞ, ΚΟ. ἐπεὶ οὖν ἀπὸ μετεωροτέρου τοῦ Κ ἐπὶ τὸ Μ ἐπέζευκται ἡ ΚΜ, κάθετος ἄρα ἐστὶν ἐπὶ τὴν ΜΛ. ὁμοίως δὴ καὶ ἡ ΚΞ ἐπὶ τὴν ΗΝ, ἡ δὲ ΚΟ ἐπὶ τὴν ΒΔ. ὀρθογώνια ἄρα ἐστὶ τὰ ΚΜΛ, ΚΞΝ, ΚΟΔ τρίγωνα. καί ἐστιν ἡ μὲν ΞΝ τῇ ΜΛ ἴση· παραλληλόγραμμον γὰρ τὸ ΜΝ· ἑκατέρα δὲ τῶν ΞΚ, ΚΝ μείζων ἐστὶν ἑκατέρας τῶν ΜΚ, ΚΛ. μείζων ἄρα καὶ γωνία ἡ ὑπὸ ΜΚΛ τῆς ὑπὸ ΞΚΝ. μεῖζον ἄρα ὀφθήσεται καὶ τὸ ΜΛ τοῦ ΞΝ· ὁμοίως καὶ τὸ ΖΜ τοῦ ΗΞ. ὥστε καὶ ὅλη ἡ ΖΛ ὅλης τῆς ΗΝ μείζων φαίνεται. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΗΝ τῆς ΒΔ. ἀνισοπλατῆ ἄρα καὶ οὕτω φαίνεται τὰ μεγέθη.

ζ'.

Τὰ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντα ἴσα μεγέθη πορρωτέρω ἀλλήλων τεθέντα ἄνισα φαίνεται.

ἔστω γὰρ ἴσα μεγέθη τὰ ΒΓ, ΔΖ, ὄμμα δὲ ἔστω τὸ Κ, καὶ ἀπὸ τοῦ ὄμματος τοῦ Κ προσπιπτέτωσαν ὄψεις αἱ ΚΒ, ΚΓ, ΚΔ, ΚΖ· ὀρθὴ δὲ ἔστω ἡ ὑπὸ ΚΖΒ γωνία. οὐκοῦν μείζων ἐστὶν ἡ Σ γωνία τῆς Φ. ὥστε καὶ ἡ ΔΖ μείζων φανήσεται τῆς ΓΒ. ἄνισα ἄρα φαίνεται τὰ ΒΓ, ΔΖ μεγέθη.

---

2. ΚΞ] corr. ex ΚΖ m. rec. V. 3. Ante κάθετος add. ἡ ΚΜ m. rec. V, idem post ἐστίν (lin. 4) m. 2 v. 4. ΜΛ] supra scr. Z m. 2 v. 6. ἐστί] ἐστίν Vv. 8. μεῖζον v. 9. μεῖζον v, corr. m. 2. 10. μεῖζον — 11. ΗΞ] om. Vv. 11. ΖΜ] ΞΜ p. ΗΞ] ΠΞ p. 13. καὶ οὕτω] om. Vv. 14. τὰ μεγέθη] om. V; καὶ οὕτω τὰ μεγέθη add. m. rec. 17. Supra ἀλλήλων add. μὴ ἐφεξῆς ἀλλήλοις m. 2 v. Post τεθέντα add. καὶ ἄνισον διεστηκότα τοῦ ὄμματος m. 2 v. 21. μεῖζον v. 22. μεῖζον v. 23. Post μεγέθη add. τὰ ἄρα ἴσα μεγέθη τὰ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντα πορρώτερον ἀλλήλων τεθέντα ἄνισα φαίνεται m. rec. V.

KZ, *KΔ*, *KN*, *KΛ*, et ducantur *KM*, *KΞ*, *KO*. iam quoniam a puncto *K* eleuatiore ad *M* ducta est *KM*, ad *MΛ* perpendicularis est. eodem modo etiam *KΞ* ad *HN*, *KO* autem ad *BΔ* perpendicularis est. itaque trianguli *KMΛ*, *KΞN*, *KOΔ* rectanguli sunt. est autem *ΞN* = *MΛ* (nam *MN* parallelogrammum est). et *ΞK* > *MK*, *KN* > *KΛ*. itaque



∠ *MKΛ* > *ΞKN*.

quare etiam *MΛ* maior adparebit quam *ΞN* [def. 4]. similiter etiam *ZM* maior quam *HΞ*. quare tota *ZΛ* maior adparet tota *HN*. eadem de causa etiam *HN* maior quam *BΔ*. ergo sic quoque magnitudines latitudinem inaequalem habere uidentur.

7.

Aequales magnitudines in eadem recta positae, si inaequaliter distant, inaequales adparent.



sint enim magnitudines aequales *BΓ*, *ΔZ*, oculus autem sit *K*, et ab oculo *K* adcidant radii *KB*, *KΓ*, *KΔ*, *KZ*; angulus autem *KZB* rectus sit. itaque erit

∠ *Σ* > *Φ*.

quare etiam *ΔZ* maior adparebit quam *ΓB*. ergo magnitudines *BΓ*, *ΔZ* inaequales adparent.

η'.

Τὰ ἴσα μεγέθη ἄνισον διεστηκότα οὐκ ἀναλόγως τοῖς ἀποστήμασιν ὁρᾶται.

ἔστω γὰρ τὸ ΒΓ τῷ ΔΖ ἴσον καὶ κείσθω αὐτῷ παράλληλον, ὄμμα δὲ ἔστω τὸ Κ, καὶ ἀπ' αὐτοῦ προσπιπτέτωσαν ὄψεις αἱ ΚΖΓ, ΚΒ, ΚΔ, ὧν ἡ ΚΓ πρὸς ὀρθὰς τῇ ΓΒ ἔστω. φημὶ δή, ὅτι οὐκ ἀναλόγως φανήσεται τὰ ΒΓ, ΔΖ μεγέθη τοῖς ΓΚ, ΚΖ διαστήμασιν.

ἐπεὶ γὰρ ὀρθή ἐστιν ἡ ὑπὸ ΔΖΚ, ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΖΘΚ· ὥστε καὶ ἡ ΘΚ τῆς ΚΖ ἐστι μείζων. ὁ ἄρα κέντρῳ τῷ Κ, διαστήματι δὲ τῷ ΘΚ κύκλος γραφόμενος ὑπερπεσεῖται τὴν ΚΖ. γεγράφθω καὶ ἔστω ὁ ΕΘΗ. καὶ ἐπεὶ τὸ ΘΔΚ τρίγωνον μείζονα λόγον ἔχει πρὸς τὸν ΘΕΚ τομέα ἤπερ τὸ ΖΘΚ τρίγωνον πρὸς τὸν ΗΘΚ τομέα, ἐναλλὰξ ἄρα τὸ ΘΔΚ τρίγωνον πρὸς τὸ ΖΘΚ τρίγωνον μείζονα λόγον ἔχει ἤπερ ὁ ΕΘΚ τομεὺς πρὸς τὸν ΗΘΚ τομέα. συνθέντι ἄρα τὸ ΖΔΚ τρίγωνον πρὸς τὸ ΖΘΚ τρίγωνον μείζονα λόγον ἔχει ἤπερ ὁ ΕΗΚ τομεὺς πρὸς τὸν ΗΘΚ τομέα. ἀλλ' ὡς τὸ ΖΔΚ τρίγωνον πρὸς τὸ ΖΘΚ τρίγωνον, οὕτως ἡ ΔΖ πρὸς ΖΘ, ὡς δὲ ὁ ΗΕΚ τομεὺς πρὸς τὸν ΗΘΚ τομέα, οὕτως ἡ ὑπὸ ΔΚΖ γωνία πρὸς τὴν ὑπὸ ΘΚΖ. ἐν μείζονι λόγῳ ἄρα ἐστὶ καὶ ἡ ΔΖ πρὸς τὴν ΖΘ ἤπερ ἡ Σ, Ρ γωνία πρὸς τὴν Ρ γωνίαν. ὡς δὲ ἡ ΔΖ πρὸς τὴν ΖΘ, οὕτως ἡ ΓΚ πρὸς τὴν ΚΖ· καὶ ἡ ΚΓ ἄρα πρὸς τὴν ΚΖ ἐν μείζονι λόγῳ ἐστὶν ἤπερ ἡ Σ, Ρ γωνία πρὸς τὴν Ρ γωνίαν. καὶ ἐκ μὲν τῆς Σ, Ρ γωνίας τὸ ΔΖ ὁρᾶται, ἐκ δὲ τῆς Ρ γωνίας

---

2. *ἄνισον*] *καὶ ἄνισον* v; supra add. *καὶ παράλληλα* m. rec. V, *παράλληλα* m. 2 v. Supra *οὐκ* add. *ἀπὸ τῶν ὀμμάτων* m. 2 v. 3. *ἀποστήμασιν*] corr. in *διαστήμασιν* m. rec. V.

8.

Magnitudines aequales inaequaliter distantes secundum proportionem distantiarum non cernuntur.

sit enim $B\Gamma = \Delta Z$, et ponantur parallelae, oculus autem sit K, et ab eo radii adcidant $KZ\Gamma$, KB, $K\Delta$, quorum $K\Gamma$ ad ΓB perpendicularis sit. dico igitur, magnitudines $B\Gamma$, ΔZ secundum proportionem distantiarum ΓK, KZ non cerni.

nam quoniam $\angle \Delta ZK$ rectus est, $\angle Z\Theta K$ acutus est. quare etiam $\Theta K > KZ$. itaque circulus centro K, radio autem ΘK descriptus rectam KZ excedet. describatur et sit $E\Theta H$. et quoniam est



$\Theta\Delta K : \Theta EK > Z\Theta K : H\Theta K$,
permutando erit
$\Theta\Delta K : Z\Theta K > E\Theta K : H\Theta K$.
componendo igitur
$Z\Delta K : Z\Theta K > EHK : H\Theta K$.

est autem $Z\Delta K : Z\Theta K = \Delta Z : Z\Theta$, et

$$HEK : H\Theta K = \angle \Delta KZ : \angle \Theta KZ.$$

itaque erit $\Delta Z : Z\Theta > \Sigma + P : P$. uerum $\Delta Z : Z\Theta = \Gamma K : KZ$. itaque etiam

$$K\Gamma : KZ > \Sigma + P : P.$$

et ex angulo $\Sigma + P$ cernitur ΔZ, ex P autem angulo

---

6. $KZ\Gamma$] corr. ex KZ m. rec. V. 8. διαστήμασιν] om. v. 10. $Z\Theta K$] e corr. v. ἐστιν p. μεῖζον v. 11. δ] postea ins. V. τῷ (pr.)] corr. ex τό m. rec. V. 13. ἐπεί] ἐπί v. 14. τόν] corr. ex τήν m. rec. Vv. 15. ἐναλάξ V. 21. πρός (pr.)] om. V, πρὸς τήν m. rec. 22. ὑπό] m. rec. V. ΔKZ] ΔKH V. 23. ἐστίν Vv. 28. P (alt.)] post ras. 1 litt. v.

τὸ ΒΓ. οὐκ ἀνάλογον ἄρα τοῖς ἀποστήμασι τὰ ἴσα μεγέθη ὁρᾶται.

θ'.

Τὰ ὀρθογώνια μεγέθη ἐξ ἀποστήματος ὁρώμενα περιφερῆ φαίνεται.



ἔστω γὰρ ὀρθογώνιον τὸ ΒΓ [ἑστὼς μετέωρον] ἐξ ἀποστήματος ὁρώμενον. οὐκοῦν ἐπεὶ ἕκαστον τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενόμενον οὐκέτι ὁρᾶται, ἡ μὲν Γ ἄρα γωνία οὐχ ὁρᾶται, τὰ δὲ Δ, Ζ σημεῖα μόνον φαίνεται. ὁμοίως καὶ ἐφ' ἑκάστης τῶν λοιπῶν γωνιῶν τοῦτο συμβήσεται. ὥστε ὅλον περιφερὲς φανήσεται.

ι'.

Τῶν κάτω τοῦ ὄμματος ἐπιπέδων κειμένων τὰ πόρρω μετεωρότερα φανεῖται.

ἔστω γὰρ ὄμμα τὸ Β ἄνω τοῦ ΓΚ ἐπιπέδου κείμενον, ἀφ' οὗ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΒΓ, ΒΔ, ΒΖ, ΒΚ, ὧν ἡ ΒΚ κάθετος ἔστω ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον. λέγω, ὅτι τὸ ΓΔ τοῦ ΔΖ μετεωρότερον φαίνεται, τὸ δὲ ΔΖ τοῦ ΖΚ. εἰλήφθω [γὰρ] ἐπὶ τῆς ΖΚ τυχὸν σημεῖον τὸ Ε, καὶ ἤχθω πρὸς ὀρθὰς ἡ ΕΗ. καὶ ἐπεὶ αἱ ὄψεις πρότερον πρὸς τὴν ΗΕ προσπίπτουσιν ἤπερ πρὸς τὴν ΕΓ, προσπιπτέτω τῇ ΗΕ ἡ μὲν ΒΓ κατὰ τὸ Η σημεῖον, ἡ δὲ ΒΔ κατὰ

7. ἑστὼς μετέωρον] m. rec. V. 10. γενομένου Vp. 15. ι'] V, ια' mut. in ιβ' m. rec. 16. ἐπιπέδου$^{\omega}$ κειμένων$^{\beta}$ V (α, β, ω m. rec.), κειμένων ἐπιπέδων vp. 17. φανεῖται] φαίνεται vp, m. rec. V. 20. ΒΔ] Δ in ras. m. 2 v. ΒΚ (pr.)

ΒΓ. ergo magnitudines aequales secundum proportionem distantiarum non cernuntur.

9.

Magnitudines rectangulae, quae e distantia cernuntur, rotundae adparent.

sit enim *ΒΓ* rectangulum et e distantia cernatur. itaque cum omnia, quae cernuntur, longitudinem quandam distantiae habeant, ubi cum posita sint, non iam cernantur, angulus *Γ* non cernitur, puncta autem *Δ*, *Z* sola adparent. et eodem modo etiam in ceteris angulis hoc eueniet. ergo tota magnitudo rotunda adparebit.

10. (check figure · Knott)

Planorum infra oculum positorum partes longinquiores sublimiores adparebunt.



sit enim *B* oculus supra planum *ΓK* positus, a quo radii adcidant *ΒΓ*, *ΒΔ*, *ΒZ*, *ΒK*, quorum *ΒK* ad planum subiacens perpendicularis sit. dico, *ΓΔ* sublimius adparere quam *ΔZ* et *ΔZ* quam *ZK*. sumatur in *ZK* punctum aliquod *E*, et perpendicularis ducatur *EH*. et quoniam radii ad *HE* prius adcidunt quam ad *EΓ*, ad *HE* adcidat *ΒΓ* in puncto *H*, *ΒΔ* in *Λ*, *ΒZ* in *M*. iam

— p. 168, 8. φαίνεται] in ras. m. rec. V (fuit ... ϰ̄ οὐκοῦν τῶν ἀπὸ τοῦ . ὄμματος πρὸς τὸ . . ἐπίπεδον προσπιπτουσῶν .....). ὧν — p. 168, 6. *KZ*] om. v. 22. *ZK*] *KZ* in lac. m. 2 p. 23. γάρ] om. p. 24. ἡ] τῇ *ZK* ἡ V.

τὸ Δ, ἡ δὲ ΒΖ κατὰ τὸ Μ. ἐπεὶ οὖν τὸ Η τοῦ Δ μετεωρότερον, τὸ δὲ Δ τοῦ Μ, ἀλλ' ἐν ᾧ ἐστι τὸ Η, ἐν τούτῳ τὸ Γ, ἐν ᾧ δὲ τὸ Δ, ἐν τούτῳ τὸ Δ, ἐν ᾧ δὲ τὸ Μ, ἐν τούτῳ τὸ Ζ, διὰ δὲ τῶν ΒΓ, ΒΔ ἡ ΔΓ φαίνεται, διὰ δὲ τῶν ΒΔ, ΒΖ ἡ ΖΔ, διὰ δὲ τῶν ΒΖ, ΒΚ ἡ ΚΖ, οὐκοῦν ἡ μὲν ΓΔ τῆς ΖΔ μετεωροτέρα φαίνεται, ἡ δὲ ΖΔ τῆς ΖΚ· τὰ γὰρ ὑπὸ μετεωροτέρων ἀκτίνων ὁρώμενα μετεωρότερα φαίνεται.

ια'.

Τῶν ἄνω τοῦ ὄμματος ἐπιπέδων κειμένων τὰ πόρρω ταπεινότερα φανεῖται.

ἔστω γὰρ ὄμμα τὸ Β κάτω τοῦ ΔΖ ἐπιπέδου κείμενον, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΒΔ, ΒΓ, ΒΖ, ὧν ἡ ΒΖ κάθετος ἔστω ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον. λέγω, ὅτι τὸ ΓΔ τοῦ ΓΖ ταπεινότερον φαίνεται. διὰ δὴ τὸ προεκτεθὲν θεώρημα ταπεινοτάτη τῶν ἀπὸ τοῦ Β ὄμματος πρὸς τὸ ΔΖ ἐπίπεδον προσπιπτουσῶν ἀκτίνων ἐστὶν ἡ ΒΔ, ἡ δὲ ΒΓ τῆς ΒΖ ταπεινοτέρα. ἀλλὰ διὰ μὲν τῶν ΒΔ, ΒΓ ἀκτίνων τὸ ΔΓ φαίνεται, διὰ δὲ τῶν ΒΓ, ΒΖ τὸ ΓΖ. τὸ ΔΓ ἄρα ταπεινότερον τοῦ ΓΖ ὁρᾶται.

---

1. ἐπεὶ οὖν] bis p. 2. τό (pr.)] ἐστι τό V. 4. ἡ ΔΓ] m. 2 p. 6. ΖΔ] ΔΖ V. 7. ΖΚ] Κ in ras. m. 2 v. 8. Post φαίνεται add. τῶν ἄρα κάτω τοῦ (corr. ex τῶν) ὄμματος κειμένων καὶ τὰ ἑξῆς V. Mg. m. 1 V: Γ. ἐκ δὴ τούτου φανερόν ἐστι (ὅτι add. m. rec.) τὰ ἐπίπεδα ἐκ τοῦ μέσου θεωρούμενα κοῖλα φαίνεται. τεθείσης γὰρ τῆς ὄψεως κατὰ μέσον τοῦ ἐπιπέδου ἐν τῷ μετεώρῳ φανερὸν τὸ λεγόμενον προσεκβληθέντος τοῦ ΓΚ ἐπιπέδου ἐπὶ τὰ ἀριστερά, ὥστε καὶ εἰς τὰ δεξιὰ τὰ πόρρω προσέχειν καὶ εἰς τὰ ἀριστερά. εἰ γὰρ μετεωρότερα τὰ ἄκρα, δῆλον, ὅτι τὸ μέσον κοῖλον. 9. ια'] mut. in ιβ' m.

quoniam *H* sublimius est quam *Δ*, *Δ* autem quam *M*, ubi autem *H* est, ibi est *Γ*, ubi *Δ*, ibi *Δ*, ubi *M*, ibi *Z*, per *BΓ*, *BΔ* autem *ΔΓ* adparet, per *BΔ*, *BZ* uero *ZΔ*, et *KZ* per *BZ*, *BK*, sublimius adparet *ΓΔ* quam *ZΔ*, *ZΔ* quam *ZK*; nam quae a radiis sublimioribus cernuntur, sublimiora adparent [def. 5].

11.

Planorum supra oculum positorum partes longinquiores demissiores adparebunt.



oculus enim sit *B* infra planum *ΔZ* positus, a quo adcidant radii *BΔ*, *BΓ*, *BZ*, quorum *BZ* ad planum suppositum perpendicularis sit. dico, *ΓΔ* demissius adparere quam *ΓZ*. propter theorema supra expositum *BΔ* e radiis a *B* oculo ad planum *ΔZ* adcidentibus maxime demissus est, *BΓ* autem demissior quam *BZ*. uerum per radios *BΔ*, *BΓ* adparet *ΔΓ*, *ΓZ* autem per *BΓ*, *BZ*. ergo *ΔΓ* demissius quam *ΓZ* cernitur.

---

rec. V. 10. *ἐπίπεδον* (corr. m. rec.) *κειμένων* V, add. *β—α* m. rec.; *κειμένων ἐπιπέδων* vp. 11. *φανεῖται*] *φαίνεται* p et m. rec. V. 13. *BΔ*, *BΓ*] *BΓ*, *BΔ* V. 14. *ὧν* — 16. *θεώρημα*] m. 2 p, om. v. *ὧν* — 21. *ὁρᾶται*] in ras. m. rec. V; a m. 1 fuit: *οὐκοῦν ταπεινοτάτη τῶν ἀπὸ τοῦ B ὄμματος πρὸς τὸ ΔZ ἐπίπεδον προσπιπτουσῶν ἀκτίνων ἐστὶν ἡ BΔ, καὶ ἀπώτερον φαίνεται τὸ Δ· τὸ Δ ἄρα ταπεινότερον φαίνεται τοῦ Γ, τὸ δὲ Γ τοῦ* Z. 15. *ΓΔ*] *ΔΓ* V. 20. *τὸ ΓZ*] om. v. *ΔΓ*] *Γ* m. 2 p. 21. Post *ὁρᾶται* add. *τῶν ἄρα ἄνω τοῦ ὄμματος κειμένων καὶ τὰ ἑξῆς* V, *τὸ Δ ἄρα ταπεινότερον φαίνεται τοῦ Γ, τὸ δὲ Γ τοῦ* Z mg. m. 2 p.

ιβ'.

Τῶν εἰς τοὔμπροσθεν μῆκος ἐχόντων τὰ μὲν ἐν τοῖς δεξιοῖς εἰς τὰ ἀριστερὰ δοκεῖ παρῆχθαι, τὰ δὲ ἐν τοῖς ἀριστεροῖς εἰς τὰ δεξιά.



ἔστω γὰρ ὁρώμενα τὰ ΒΓ, ΔΖ, ὄμμα δὲ τὸ Κ, ἀφ' οὗ προσπιπτέτωσαν ὄψεις αἱ ΚΓ, ΚΑ, ΚΒ, ΚΖ, ΚΗ, ΚΔ. οὐκοῦν τὸ Δ παρῆχθαι δοκεῖ εἰς τὰ ἀριστερὰ ἤπερ τὸ Η. ὁμοίως δὲ καὶ τὸ Β εἰς τὰ δεξιὰ δοκεῖ παρῆχθαι ἤπερ τὸ Α. ὥστε τῶν εἰς τοὔμπροσθεν μῆκος ἐχόντων τὰ μὲν ἐν τοῖς δεξιοῖς εἰς τὰ ἀριστερὰ δοκεῖ παρῆχθαι, τὰ δὲ ἐν τοῖς ἀριστεροῖς εἰς τὰ δεξιά.

ιγ'.

Τῶν ἴσων μεγεθῶν ὑπὸ τὸ ὄμμα κειμένων τὰ πόρρω κείμενα μετεωρότερα φαίνεται.

ἔστω γὰρ ἴσα μεγέθη τὰ ΒΓ, ΔΖ, ΚΛ ὑπὸ τὸ ὄμμα τὸ Ν κείμενα, καὶ ἀπὸ τοῦ Ν ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΒΝ, ΝΔ, ΝΚ. οὐκοῦν μετεωροτάτη ἐστὶν ἡ ΝΒ τῶν λοιπῶν ἀκτίνων· ὥστε καὶ τὸ Β σημεῖον. τὸ ἄρα ΒΓ τοῦ ΔΖ μετεωρότερον φαίνεται, τὸ δὲ ΔΖ τοῦ ΚΛ. τῶν ἄρα ἴσων μεγεθῶν ὑπὸ τὸ ὄμμα κειμένων τὰ πόρρω κείμενα μετεωρότερα φαίνεται.

ιδ'.

Τῶν ἴσων μεγεθῶν ἄνω τοῦ ὄμματος κειμένων τὰ πόρρω κείμενα ταπεινότερα φαίνεται.

---

3. δέ] δ' p. 7. αἱ] λέγω ὅτι αἱ v. 8. ΚΗ] ΚΝ V. 9. Η] Ν V. 12. τοὔμπροσθε V. ἐχώντων v, sed corr. 13. δεξιοῖς — 14. τοῖς] om. v. 18. ΚΛ] om. v.

12.

Magnitudinum, quae ad partes anteriores uersus longitudinem habent, ea, quae ad dextram posita sunt, ad partem sinistram cedere uidentur, quae autem ad sinistram posita sunt, ad partem dextram.

cernantur enim $B\Gamma$, ΔZ, oculus autem sit K, a quo radii adcidant $K\Gamma$, $K\Lambda$, KB, KZ, KH, $K\Delta$. itaque punctum Δ ad partes sinistras cessisse uidetur magis quam H. similiter autem etiam B ad partes dextras cessisse uidetur magis quam Λ. ergo magnitudinum, quae ad partes anteriores uersus longitudinem habent, ea, quae ad dextram posita sunt, ad partem sinistram cedere uidentur, quae autem ad sinistram posita sunt, ad partem dextram.

13.

Magnitudinum aequalium sub oculo positarum longinquiores sublimiores adparent.



sint enim $B\Gamma$, ΔZ, $K\Lambda$ magnitudines aequales sub oculo N positae, et ab N oculo radii adcidant BN, $N\Delta$, NK. itaque NB reliquis radiis sublimior est; quare etiam punctum B. itaque $B\Gamma$ sublimior adparet quam ΔZ, ΔZ autem quam $K\Lambda$. ergo magnitudinum aequalium sub oculo positarum longinquiores sublimiores adparent.

14.

Magnitudinum aequalium supra oculum positarum longinquiores demissiores adparent.

ἔστω ἴσα μεγέθη τὰ KN, ΔZ, $\Gamma\Delta$ ἄνω τοῦ ὄμματος κείμενα τοῦ B, καὶ ἀπὸ τοῦ B ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ BN, BZ, $B\Delta$. οὐκοῦν ταπεινοτάτη ἐστὶν ἡ $B\Delta$· ὥστε καὶ τὸ Δ. ὥστε καὶ τὸ μὲν $\Gamma\Delta$ ταπεινότερον φαίνεται τοῦ ΔZ, τὸ δὲ ΔZ τοῦ KN.



ιε'.

Ὅσα ἀλλήλων ὑπερέχει τῶν ὑπὸ τὸ ὄμμα κειμένων, προσιόντος μὲν τοῦ ὄμματος μείζονι τὸ ὑπερφαινόμενον φαίνεται μεῖζον, ἀπιόντος δὲ ἐλάττονι μεῖζον.

ἔστω γὰρ μεῖζον τὸ $B\Gamma$ τοῦ ΘZ, καὶ ὄμμα κείσθω τὸ K ἄνω τῶν $B\Gamma$, ΘZ, καὶ προσπιπτέτω ἀκτὶς διὰ τοῦ Θ ἡ $K\Delta$. οὐκοῦν τὸ $B\Gamma$ τοῦ ΘZ μεῖζον φαίνεται τῷ $B\Delta$· ἴσον γὰρ ἐφαίνετο τὸ ΘZ τῷ $\Delta\Gamma$, ἐπειδὴ ὑπὸ τοῦ αὐτοῦ ὄμματος καὶ τῆς $K\Delta$ ἀκτῖνος ἑωρᾶτο. πάλιν δὴ μετακείσθω τὸ ὄμμα ἐπὶ τὸ Δ, καὶ διὰ τοῦ Θ προσπιπτέτω ἀκτὶς ἡ ΔN. οὐκοῦν πάλιν τὸ $B\Gamma$ τοῦ ΘZ μεῖζον φαίνεται τῷ BN. ἐλάττονι ἄρα φαίνεται ὑπερέχον τὸ $B\Gamma$ τοῦ ΘZ ἀπιόντος τοῦ ὄμματος ἤπερ προσιόντος.

ις'.

Ὅσα ἀλλήλων ὑπερέχει κάτω τοῦ ὄμματος κειμένου, προσιόντος μὲν τοῦ ὄμματος ἐλάττονι μεῖζον τὸ ὑπερφαινόμενον φαίνεται, ἀπιόντος δὲ μείζονι μεῖζον.

---

3. B] m. rec. V. 7. Δ — τό] om. pv. ὥστε καί] m. 1 V, καὶ διὰ τοῦτο m. rec. 9. Post KN add. τῶν ἄρα ἴσων μεγεθῶν καὶ τὰ ἑξῆς m. rec. V. 13. ἀπιόντος] -ον- in ras. V. 17. τῷ (pr.)] τό v. ἴσον] m. rec. V, comp. m. 1.

sint KN, ΔZ, $\Gamma\Delta$ magnitudines aequales supra oculum B positae, et a B oculo radii adcidant BN, BZ, $B\Delta$. itaque $B\Delta$ maxime est demissus; quare etiam Δ. ergo etiam $\Gamma\Delta$ demissior adparet quam ΔZ, ΔZ autem quam KN.

15. ([illegible])

Magnitudinum sub oculo positarum, quae inter se excedunt, excedens oculo adpropinquante magis excedere uidetur, recedente uero minus.

sit enim $B\Gamma > \Theta Z$, et oculus K supra $B\Gamma$, ΘZ ponatur, radius autem $K\Delta$ per Θ adcidat. itaque $B\Gamma$ magnitudinem ΘZ magnitudine $B\Delta$ excedere uidetur; adparebat enim $\Theta Z = \Delta\Gamma$, quoniam ab eodem oculo radioque $K\Delta$ cernebatur. rursus igitur oculus ad Δ transferatur, et per Θ adcidat radius ΔN. itaque rursus $B\Gamma$ magnitudinem ΘZ magnitudine BN excedere uidetur. ergo $B\Gamma$ oculo recedente minus excedere uidetur magnitudinem ΘZ quam oculo adpropinquante.[1])



16.

Magnitudinum, quae oculo infra posito inter se excedunt, excedens oculo adpropinquante minus excedere uidetur, recedente uero magis.

1) Praeter nostram figuram, in qua m. rec. adscripsit τοῦτο ὀρθόν, aliam quoque dissimilem habet V.

Ante ΘZ ras. 1 litt. v. 19. τό (pr.)] τὸ K v. 21. Ante ΘZ ras. 1 litt. v. ἐλάττωνι v, et V, sed corr. m. rec.

ἔστω μεῖζον τὸ BZ τοῦ $ΘK$, καὶ τοῦ $Δ$ ὄμματος κάτω κειμένου προσπιπτέτω ἀκτὶς ἡ $ΔΓ$ διὰ τοῦ $Θ$ οὐκοῦν τὸ BZ τοῦ $ΘK$ μεῖζον φαίνεται τῷ $BΓ$. μετακείσθω δὴ τὸ $Δ$ ὄμμα ἐπὶ τὸ N, καὶ προσπιπτέτω ἀκτὶς ἡ $NΔ$ διὰ τοῦ $Θ$. οὐκοῦν πάλιν τὸ BZ τοῦ $ΘK$ μεῖζον φαίνεται τῷ $BΔ$. προσιόντος μὲν ἄρα τοῦ ὄμματος ἐλάττονι μεῖζον φαίνεται ὑπερέχον τὸ BZ τοῖ $ΘK$, ἀπιόντος δὲ μείζονι.

ιζ'.

Ὅσα ἀλλήλων ὑπερέχει τοῦ ὄμματος ἐπ' εὐθείας τῷ ἐλάσσονι μεγέθει ὄντος, προσιόντος τε καὶ ἀφισταμένου τοῦ ὄμματος τῷ ἴσῳ αἰεὶ δόξει τὸ ὑπερφαινόμενον τοῦ ἐλάσσονος ὑπερέχειν.



ὑπερεχέτω γὰρ τὸ $BΔ$ τοῦ $ΘH$ τῷ $BΓ$, καὶ ἐπιζευχθεῖσα ἡ $ΓΘ$ ἐκβεβλήσθω, καὶ ἔστω τὸ ὄμμα ἐπὶ τοῦ Z. οὐκοῦν ἡ ἀπὸ τοῦ Z ἀκτὶς προσπίπτουσα κατὰ τὴν $ZΓ$ ἐνεχθήσεται. πάλιν δὴ μετακείσθω τὸ ὄμμα ἐπὶ τοῦ K. οὐκοῦν διὰ τὰ αὐτὰ ἡ ἀπὸ τοῦ K ὄμματος ἀκτὶς προσπίπτουσα κατὰ τὴν $KΓ$ ἐνεχθήσεται. τῷ αὐτῷ ἄρα ὑπερέξει τὸ $BΔ$ τοῦ $ΘH$ καὶ προσιόντος τοῦ ὄμματος καὶ ἀφισταμένου.

ιη'.

Τὸ δοθὲν ὕψος γνῶναι, πόσον ἐστίν.

ἔστω γάρ, ὃ δεῖ ἐπιγνῶναι ὕψος, πόσον ἐστί, τὸ $BΓ$, καὶ προσπιπτέτω ἀκτὶς ἡλίου διὰ τοῦ B ἡ $BΔ$

---

4. δή] δέ v. προσπιπτέτω] -σπ- in ras. V. 7. ἔλαττον v. 11. μεγέθη v. ὄντως v, sed corr. 15. $ΘH$] ΘΗ Vv. $ΘN$ p. 16. $ΓΘ$] $Γ$ in ras. m. 1 V. 23. $ΘH$] ΘΗ Vv.

sit $BZ > \Theta K$, et oculo Δ infra posito radius $\Delta\Gamma$ per Θ adcidat. itaque BZ magnitudinem ΘK magnitudine $B\Gamma$ excedere uidetur. iam oculus Δ ad N transferatur, et per Θ adcidat radius $N\Delta$. rursus igitur BZ magnitudinem ΘK magnitudine $B\Delta$ excedere uidetur. ergo oculo adpropinquante magnitudo excedens BZ minus excedere uidetur magnitudinem ΘK, recedente uero magis.



17.

Magnitudinum, quae oculo in eadem recta posito, in qua est magnitudo minor, inter se excedunt, excedens, siue adpropinquat siue recedit oculus, semper eodem spatio minorem excedere uidebitur.

excedat enim $B\Delta$ magnitudinem ΘH magnitudine $B\Gamma$, et ducta $\Gamma\Theta$ producatur, oculus autem in Z positus sit. itaque radius a Z adcidens per $Z\Gamma$ feretur. iam rursus oculus ad K transferatur. itaque eadem de causa radius a K oculo adcidens per $K\Gamma$ feretur. ergo $B\Delta$ eodem spatio magnitudinem ΘH excedet, siue adpropinquat siue recedit oculus.

18.

Datam altitudinem cognoscere, quanta sit.

sit enim $B\Gamma$ altitudo, quae quanta sit, cognoscere oporteat, et per B adcidat radius solis $B\Delta$. $\Gamma\Delta$ igi-

οὐκοῦν σκιὰ ἔσται ἡ ΓΔ. ἔλαβον δή τι γνώριμοι μέγεθος τὸ ΚΖ καὶ ἐνήρμοσα ὑπὸ τὴν Δ γωνίαι παράλληλον τῇ ΒΓ. οὐκοῦν ἐστιν, ὡς τὸ ΔΓ πρὸς τὸ ΓΒ, οὕτως τὸ ΔΖ πρὸς τὸ ΖΚ. καὶ γνώριμος ὁ λόγος ὁ τῆς ΔΖ πρὸς ΖΚ· γνώριμος ἄρα καὶ ὁ τῆς ΔΓ πρὸς ΓΒ. καί ἐστι γνώριμος ἡ ΔΓ σκιά· γνώριμον ἄρα καὶ τὸ ΓΒ ὕψος



ιθ'.

Μὴ ὄντος ἡλίου τὸ δοθὲν ὕψος γνῶναι, ἡλίκοι ἐστίν.

ἔστω γάρ, ὃ δεῖ ἐπιγνῶναι ὕψος, πηλίκον ἐστίν τὸ ΒΓ, καὶ κείσθω κάτοπτρον τὸ ΚΑ, ὄμμα δὲ ἔστα τὸ Δ, καὶ ἀπ' αὐτοῦ προσπιπτέτω ἀκτὶς ἡ ΔΘ καὶ ἀνακεκλάσθω ὡς ἡ ΘΒ ἐπὶ τὸ Β πέρας, καὶ ἀπὸ τοῦ Δ ὄμματος κάθετος ἡ ΔΖ. οὐκοῦν ἴσαι εἰσὶν αἱ πρὸς τῷ Θ γωνίαι ἀλλήλαις· τοῦτο γὰρ δείκνυται ἐν τοῖς Κατοπτρικοῖς. ἀλλὰ καὶ ἡ πρὸς τῷ Γ τῇ πρὸς τῷ Ζ ἴση ἐστίν· ὀρθὴ γάρ ἐστιν ἑκατέρα αὐτῶν. λοιπὴ ἄρα ἡ πρὸς τῷ Β λοιπῇ τῇ πρὸς τῷ Δ ἴση ἐστίν. ὥστε ὅμοιον ἂν εἴη τὸ ΒΓΘ τρίγωνον τῷ ΔΖΘ τριγώνῳ ἔστιν ἄρα, ὡς ἡ ΘΓ πρὸς ΓΒ, οὕτως ἡ ΘΖ πρὸς ΖΔ· τῆς δὲ ΘΖ πρὸς ΖΔ λόγος δοθείς ἐστιν· καὶ τῆς ΘΓ ἄρα πρὸς ΓΒ γνώριμος ὁ λόγος ἐστίν. γνώριμος δὲ ἡ ΘΓ· γνώριμον ἄρα καὶ τὸ ΓΒ ὕψος.

---

2. ἐνήρμοσται v. Ante Δ add. πρὸς τῷ m. rec. V. 4. ΓΒ] ΒΓ p. 8. ἐστιν Vv. 9. σκιά· γνώριμον] in ras. m. 1 V. Post ὕψος add. τὸ ἄρα δοθὲν ὕψος ἔγνωσται πόσον ἐστί m. rec. V. 13. ἐστί p. 15. Supra ΔΘ add. τῷ κατόπτρ

tur umbra erit. sumpsi igitur magnitudinem aliquam notam KZ et eam in angulum Δ magnitudini $B\Gamma$ parallelam aptaui. itaque est $\Delta\Gamma : \Gamma B = \Delta Z : ZK$. et ratio $\Delta Z : ZK$ nota est; quare etiam ratio $\Delta\Gamma : \Gamma B$ nota. et umbra $\Delta\Gamma$ nota est. ergo etiam altitudo ΓB nota.

19.

Sine solis usu datam altitudinem cognoscere, quanta sit.

sit enim $B\Gamma$ altitudo, quae quanta sit, cognoscere oporteat, et speculum collocetur $K\Delta$, oculus autem sit Δ, et ab eo radius adcidat $\Delta\Theta$ et inflectatur ad terminum B ut ΘB, et ab oculo Δ perpendicularis sit ΔZ. itaque anguli ad Θ positi inter se aequales sunt; hoc enim in Catoptricis demonstratur. uerum etiam



$$\angle\, \Gamma = Z;$$

nam uterque rectus est. itaque qui relinquitur angulus ad B positus angulo ad Δ posito aequalis est. quare $B\Gamma\Theta \sim \Delta Z\Theta$. itaque $\Theta\Gamma : \Gamma B = \Theta Z : Z\Delta$. uerum ratio $\Theta Z : Z\Delta$ data est; quare etiam ratio $\Theta\Gamma : \Gamma B$ nota est. et $\Theta\Gamma$ nota est. ergo etiam altitudo ΓB nota est.

---

m. rec. V. 16. *ὡς — πέρας*] del. m. rec. V, supra scr. *ἄχρις οὗ συμβαλεῖ τῷ πέρατι τοῦ ΒΓ μεγέθους τῷ Β* m. rec. 18. *τῷ*] *τό* v. 24. Ante *λόγος* add. *ὁ* m. rec. V. *ἐστι* p. 25. *ἐστί* p.

κ'.

Τὸ δοθὲν βάθος ἐπιγνῶναι, πηλίκον ἐστίν.

ἔστω γὰρ τὸ βάθος, ὃ δεῖ ἐπιγνῶναι, πηλίκον ἐστίν, τὸ ΚΒ, καὶ κείσθω ὄμμα τὸ Δ, καὶ προσπιπτέτω ἀκτὶς ἡ ΔΛΚ εἰς τὸ βάθος, καὶ ἤχθω ἀπὸ τοῦ Δ παρὰ τὴν ΒΚ ἡ ΔΖ. ἐπεὶ παράλληλός ἐστιν ἡ ΒΚ τῇ ΔΖ, καὶ ἐμπέπτωκεν ἡ ΔΚ, τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΒΚΛ, ΛΔΖ ἴσας ἀλλήλαις ποιεῖ. εἰσὶ δὲ καὶ αἱ κατὰ κορυφὴν αἱ πρὸς τῷ Λ ἴσαι ἀλλήλαις· καὶ ἡ λοιπὴ ἄρα γωνία τῇ λοιπῇ ἴση ἐστίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΒΚΛ τρίγωνον τῷ ΛΔΖ τριγώνῳ. ἔστιν ἄρα, ὡς ἡ ΛΖ πρὸς ΖΔ, ἡ ΛΒ πρὸς ΒΚ. δοθεὶς δὲ ὁ τῆς ΛΖ πρὸς ΖΔ λόγος· δοθεὶς ἄρα καὶ ὁ τῆς ΛΒ πρὸς ΒΚ λόγος. καί ἐστι δοθεῖσα ἡ ΛΒ· δοθεῖσα ἄρα καὶ ἡ ΒΚ.



κα'.

Τὸ δοθὲν μῆκος ἐπιγνῶναι, πηλίκον ἐστίν.

ἔστω γάρ, ὃ δεῖ μῆκος ἐπιγνῶναι, πηλίκον ἐστίν, τὸ ΒΓ. κείσθω δὴ ὄμμα τὸ Δ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΔΒ, ΔΓ, καὶ ἀπὸ τοῦ Ζ ἤχθω παρὰ τὴν ΒΓ ἡ ΖΚ. οὐκοῦν ἐστιν, ὡς ἡ ΖΚ πρὸς ΚΔ, ἡ ΒΓ πρὸς ΓΔ. γνώριμος δὲ ὁ τῆς ΖΚ πρὸς ΚΔ λόγος· γνώριμος ἄρα καὶ ὁ τῆς ΒΓ πρὸς ΓΔ λόγος. καὶ γνώριμος ἡ ΓΔ· γνώριμος ἄρα καὶ ἡ ΓΒ.

---

3. ἐστίν] ἐστί Vp. 4. ΚΒ] corr. ex ΚΓ v. προσπιπτέτο v. 5. τὸ βάθος] mut. in τὸ πέρας τοῦ βάθους m. rec. V. 6. Supra παρά add. ἤτοι παράλληλος m. rec. V.

20.

Datam profunditatem cognoscere, quanta sit.

sit enim KB profunditas, quae quanta sit, cognoscere oporteat, et oculus ponatur Δ, radius autem $\Delta\Lambda K$ ad profunditatem adcidat, et a Δ rectae BK parallela ducatur ΔZ. iam quoniam BK rectae ΔZ parallela est, et ΔK in eas incidit, angulos alternos $BK\Lambda$, $\Lambda\Delta Z$ inter se aequales efficit. uerum etiam anguli ad Λ uerticem positi inter se aequales sunt; quare etiam reliquus angulus reliquo aequalis est. itaque trianguli $BK\Lambda$, $\Lambda\Delta Z$ aequianguli sunt. quare est $\Lambda Z : Z\Delta = \Lambda B : BK$. uerum ratio $\Lambda Z : Z\Delta$ data est; quare etiam ratio $\Lambda B : BK$ data. et ΛB data est. ergo etiam BK data est.

21.

Datam longitudinem cognoscere, quanta sit.



sit enim $B\Gamma$ longitudo, quae quanta sit, cognoscere oporteat. iam Δ oculus ponatur, a quo radii adcidant ΔB, $\Delta\Gamma$, et a Z ducatur ZK rectae $B\Gamma$ parallela. est igitur

$$ZK : K\Delta = B\Gamma : \Gamma\Delta.$$

uerum ratio $ZK : K\Delta$ nota est; itaque etiam ratio $B\Gamma : \Gamma\Delta$ nota est. et $\Gamma\Delta$ nota est. ergo etiam ΓB nota est.

---

7. Post ἐπεί add. οὖν m. rec. V. 9. $BK\Lambda$] B e corr. m. 1 V. 10. δέ] corr. in δή p, δή Vp. 13. ἐστί] ἐστίν v. 14. τό] τῷ v. $BK\Lambda$] corr. ex $BK\Delta$ m. rec. V. 21. μῆκος] in ras. m. 1 V. ἐστίν] comp. V, ἐστί p. 22. Δ] e corr. m. 1 V. 23. Supra παρά add. παράλληλος m. rec. V. 24. ZK(alt.)] K in ras. V.

κβ'.

Ἐὰν ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἐν ᾧ τὸ ὄμμα, κύκλου περιφέρεια τεθῇ, εὐθεῖα γραμμὴ ἡ τοῦ κύκλου περιφέρεια φανεῖται.

ἔστω γὰρ περιφέρεια ἡ ΒΓ, ὄμμα δὲ τὸ Δ ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὂν τῇ ΒΓ περιφερείᾳ, ἀφ' οὗ προσπιπτέτωσαν ὄψεις αἱ ΔΒ, ΖΔ, ΔΓ. οὐκοῦν, ἐπεὶ τῶν ὁρωμένων οὐδὲν ἅμα ὁρᾶται, οὐκ ἂν φαίνοιτο ἡ ΖΒ περιφέρεια, τὰ δὲ Ζ, Β πέρατα. δόξει ἄρα ἡ ΖΒ περιφέρεια εὐθεῖα εἶναι. ὁμοίως δὲ καὶ ἡ ΖΓ. ὅλη ἄρα ἡ ΒΓ περιφέρεια εὐθεῖα δόξει εἶναι.



κγ'.

Σφαίρας ὁπωσοῦν ὁρωμένης ὑπὸ τοῦ ἑνὸς ὄμματος ἔλαττον αἰεὶ ἡμισφαιρίου ὀφθήσεται, αὐτὸ δὲ τὸ ὁρώμενον τῆς σφαίρας ὑπὸ κύκλου περιεχόμενον φαίνεται.

ἔστω γὰρ σφαῖρα, ἧς κέντρον ἔστω τὸ Κ, ὄμμα δὲ ἔστω τὸ Β, καὶ ἐπεζεύχθω ἡ ΒΚ, καὶ πρὸς ὀρθὰς αὐτῇ ἤχθω διὰ τοῦ Κ ἡ ΓΚΔ, καὶ ἐκβεβλήσθω τὸ διὰ τῶν ΒΚ, ΓΚΔ ἐπίπεδον· ποιήσει δὴ ἐν τῇ σφαίρᾳ κύκλον. ποιείτω δὴ τὸν ΓΔΛΝ, περὶ δὲ τὴν ΚΒ [διάμετρον] κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΚΖ, ΖΒ, ΒΛ, ΛΚ, ΛΖ. οὐκοῦν ἐπεὶ ὀρθαί εἰσιν αἱ ὑπὸ

4. φανεῖται] corr. ex φαίνεται m. 1 V. 5. τό] τῷ v. 6. ὄν] in ras. m. 1 V. 9. ἐπεί] ἐπί v, et V, sed corr. 12. τὰ δέ] mut. in ἀλλὰ μόνα τά m. rec. V. 17. ἀεί p. 19. ἔστω (alt.)] del. m. rec. V. 21. τό] in ras. V. 22. ΓΚΔ] corr. ex Δ m. rec. V. 23. ποιείτο v. τόν] τό v. ΓΔΛΝ] Ν mut. in Ζ m. rec. V, Ζ add. m. 2 p. διάμετρον] m. rec. V. 25. ΒΛ] corr. ex ΒΔ V.

22.

Si in eodem plano, in quo est oculus, arcus circuli positus erit, arcus circuli recta linea esse adparebit.

sit enim $B\Gamma$ arcus, oculus autem Δ in eodem plano positus, in quo est arcus $B\Gamma$, et ab eo radii adcidant ΔB, $Z\Delta$, $\Delta\Gamma$. quoniam igitur eorum, quae cernuntur, nihil simul totum cernitur [prop. I], arcus ZB non adparet, termini autem Z, B adparent. itaque arcus ZB recta esse uidebitur. et similiter arcus $Z\Gamma$. ergo totus arcus $B\Gamma$ recta esse uidebitur.

23.

Quomodocunque sphaera ab uno oculo cernitur, semper minus hemisphaerio cernetur, ipsaque pars sphaerae, quae cernitur, circulo comprehensa adparet.



sit enim sphaera, cuius centrum sit K, oculus autem sit B, et ducatur BK, et ad eam perpendicularis per K ducatur $\Gamma K\Delta$, et planum per BK, $\Gamma K\Delta$ producatur; circulum igitur in sphaera efficiet. efficiat igitur $\Gamma\Delta\Lambda N$, et circum KB circulus describatur, et ducantur KZ, ZB, $B\Lambda$, ΛK, ΛZ. itaque quoniam $\angle KZB$, $B\Lambda K$ recti sunt, quia in semicirculis sunt, et KZ, $K\Lambda$ radii sunt, $B\Lambda$, BZ in uno puncto sphaeram

ΚΖΒ, ΒΛΚ διὰ τὸ ἐν ἡμικυκλίοις εἶναι καὶ ἐκ κέντρου τὰς ΚΖ, ΚΛ, καθ' ἓν σημεῖον ἐφάψονται αἱ ΒΛ, ΒΖ τῆς σφαίρας· αἱ ἄρα ἀπὸ τοῦ Β ὄμματος προσπίπτουσαι ἀκτῖνες κατὰ τὰς ΒΖ, ΒΛ πεσοῦνται. καὶ ἐπεὶ ἑκάστη τῶν πρὸς τῷ Θ γωνιῶν ὀρθή ἐστι διὰ τὸ παράλληλον εἶναι τὴν ΓΔ τῇ ΖΛ, καὶ ἴση ἡ ΖΘ τῇ ΘΛ, ἐὰν δὴ μενούσης τῆς ΘΒ τὸ ΘΖΒ τρίγωνον περιενεχθὲν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, ἥ τε ΒΖ περιφερομένη καθ' ἓν ἐφάψεται τῆς σφαιρικῆς ἐπιφανείας κατὰ τὸ Ζ, καὶ κύκλος ἔσται γεγραμμένος διὰ τῶν Ζ, Λ σημείων. ὥστε ὑπὸ κύκλου ἂν περιέχοιτο τὸ ὁρώμενον τῆς σφαίρας, ὅ γε ἔλαττόν ἐστιν ἡμισφαιρίου· τὸ γὰρ ΖΛ ἔλαττόν ἐστιν ἡμικυκλίου. ὥστε καὶ τὸ ὑπὸ τῆς ὄψεως περιεχόμενον ἔλαττόν ἐστιν ἡμισφαιρίου.

κδ'.

Τοῦ ὄμματος προσιόντος ἔγγιον τῆς σφαίρας ἔλαττον ἔσται τὸ ὁρώμενον, δόξει δὲ μεῖζον ὁρᾶσθαι.

ἔστω γὰρ σφαῖρα, ἧς κέντρον ἔστω τὸ Κ, καὶ ἀπὸ τοῦ Δ ὄμματος ἐπεζεύχθω ἐπὶ τὸ κέντρον ἡ ΔΚ, καὶ διὰ τοῦ Κ πρὸς ὀρθὰς ἤχθω ἡ ΒΓ, περὶ δὲ τὴν ΔΚ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΔΝ, ΝΚ, ΔΛ, ΛΚ. οὐκοῦν ὀρθαὶ ἔσονται αἱ πρὸς τοῖς Λ, Ν γωνίαι διὰ τὸ ἐν ἡμικυκλίῳ εἶναι· καθ' ἓν ἄρα ἐφ-

---

5. Θ] e corr. m. 1 v. 8. *εἰς τό*] *εἰς* v. 9. *φέ-*] in ras. V. Post *ἓν* add. *σημεῖον* p et m. rec. V. 13. *ὅ γε*] mut. in *καί* m. rec. V. *ἐστιν*] mut. in *ἔσται* m. rec. V. *τό* — 15. *ἡμισφαιρίου*] mut. in *ἡ γὰρ ΖΛ διάμετρος οὖσα τοῦ κύκλου τοῦ διαιροῦντος τὸ ὁρώμενον τῆς σφαίρας ἐλάττων ἐστὶ τῆς ΔΓ διαμέτρου οὔσης τῆς σφαίρας* m. rec. V. 13. *ΖΛ*] *ΖΝ* V, *Ν* supra scr. m. 2 p. 14. *ἐστι* p. *περιεχόμενον*] *ὁρώμενον* v et supra add. m. 1 p. 17. *ἔγγειον* V. 22. *ΔΝ*]

contingent. quare radii a B oculo adcidentes per BZ, $B\Delta$ cadent. et quoniam singuli anguli ad Θ positi recti sunt, quia $\Gamma\Delta$ rectae $Z\Delta$ parallela est, et $Z\Theta = \Theta\Delta$, si manente ΘB triangulus ΘZB circumuolutus ad idem punctum rursus restituitur, unde ferri coeptus est, BZ circumuoluta uno loco superficiem sphaerae continget, scilicet in Z, et circulus per puncta Z, Δ descriptus erit. itaque quae cernitur pars sphaerae, circulo comprehensa erit; et minor est hemisphaerio; $Z\Delta$ enim minor est semicirculo. ergo etiam quod uisu comprehenditur, minus est hemisphaerio.

24.

Oculo ad sphaeram adpropinquante, quod cernitur, minus erit, uidebitur autem plus cerni.



sit enim sphaera, cuius centrum sit K, et a Δ oculo ad centrum ducatur ΔK, et per K perpendicularis ducatur $B\Gamma$, et circum ΔK circulus describatur, ducanturque ΔN, NK, $\Delta\Lambda$, ΛK. itaque anguli ad Λ, N positi recti erunt, quia in semicirculo sunt. in uno igitur puncto $\Delta\Lambda$, ΔN sphaeram contingunt. itaque radii a Δ oculo adcidentes per $\Delta\Lambda$,

corr. ex ΛN m. rec. V. 23. Post ΛK add. $N\Delta$ m. 2 V, del. m. rec.

ἅπτονται αἱ ΔΛ, ΔΝ τῆς σφαίρας. αἱ ἄρα ἀπὸ τοῦ Δ ὄμματος προσπίπτουσαι ἀκτῖνες κατὰ τὰς ΔΛ, ΔΝ πεσοῦνται. πάλιν δὴ μετακινείσθω τὸ Δ ὄμμα ἐπὶ τὸ Ρ, καὶ περὶ τὴν ΡΚ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΡΖ, ΖΚ, ΡΣ, ΣΚ. οὐκοῦν αἱ ΡΖ, ΡΣ καθ' ἓν ἐφάπτονται τῆς σφαίρας. καὶ αἵ γε ἀπὸ τοῦ Ρ ὄμματος ἀκτῖνες προσπίπτουσαι κατὰ τὰς ΡΖ, ΡΣ πεσοῦνται. ὥστε ὁρᾶται ὑπὸ μὲν τῆς Ρ γωνίας τὸ ΖΣ, ὑπὸ δὲ τῆς Δ τὸ ΝΖΛ· μεῖζον δὲ τὸ ΝΖΛ τοῦ ΖΣ ἐστιν. φαίνεται δὲ ἔλαττον· μείζων γάρ ἐστιν ἡ Ρ γωνία τῆς Δ γωνίας, τὰ δὲ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται. μεῖζον ἄρα φαίνεται τὸ ΖΣ τοῦ ΝΖΛ, ἔστι δὲ ἔλαττον.

κε'.

Σφαίρας διὰ τῶν δύο ὀμμάτων ὁρωμένης, ἐὰν ἡ διάμετρος τῆς σφαίρας ἴση ᾖ τῇ εὐθείᾳ τῇ διεστώσῃ ἀπὸ τῶν ὀμμάτων, ἡμισφαίριον αὐτῆς ὀφθήσεται.

ἔστω γὰρ σφαῖρα, ἧς διάμετρος ἡ ΒΓ, καὶ ἀπὸ τῶν Β, Γ ἤχθωσαν πρὸς ὀρθὰς αἱ ΒΖ, ΓΛ, καὶ ἀπὸ τοῦ Ζ ἤχθω παρὰ τὴν ΒΓ ἡ ΖΛ, καὶ κείσθω ἓν ὄμμα ἐπὶ τοῦ Ζ, τὸ δὲ ἕτερον ἐπὶ τοῦ Λ, ἀπὸ δὲ τοῦ Δ κέντρου ἤχθω παρὰ τὴν ΒΖ ἡ ΔΚ. οὐκοῦν ἐὰν μενούσης τῆς ΔΚ τὸ ΒΚ παραλληλόγραμμον περιενεχθὲν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιγραφὲν ὑπὸ τῆς ΒΔ σχῆμα κύκλος ἔσται, ὅς γε διὰ τοῦ κέντρου ἐστὶ τῆς σφαίρας. ὥστε

---

4. ΡΚ] Ρ p, ΚΡ v. 8. ὁρ-] in ras. m. 1 V. 9. τὸ ΝΖΛ (pr.)] τὸν ΖΛ v; τὸ ΝΖ, add. ΣΛ m. 2, p. τὸ ΝΖΛ (alt.)] τὸν ΖΛ v; τὸ ΝΖΛ, supra add. Σ m. 2, p. 10. ἐστιν (pr.)] ἐστι p. μεῖζον v. Ρ] e corr. p. 13. ΝΖΛ]

ΔN cadent. rursus igitur Δ oculus ad P transponatur, et circum PK circulus describatur, ducanturque PZ, ZK, $P\Sigma$, ΣK. itaque PZ, $P\Sigma$ in uno puncto sphaeram contingunt, et qui ab P oculo adcidunt radii, per PZ, $P\Sigma$ cadent. quare ab angulo P cernitur $Z\Sigma$, a Δ autem $NZ\Lambda$; est autem $NZ\Lambda > Z\Sigma$. uidetur autem minus esse; nam $\angle P > \Delta$, et quae ab angulo maiore cernuntur, maiora adparent [def. 4]. ergo $Z\Sigma$ maius uidetur esse quam $NZ\Lambda$, est uero minus.

25.

Ubi sphaera ambobus oculis cernitur, si diametrus sphaerae rectae, quam oculi inter se distant, aequalis est, hemisphaerium cernetur.



sit enim sphaera, cuius diametrus sit $B\Gamma$, et a B, Γ perpendiculares ducantur BZ, $\Gamma\Lambda$, et a Z rectae $B\Gamma$ parallela ducatur $Z\Lambda$, et alter oculus in Z, alter in Λ collocetur, a centro autem Δ rectae BZ parallela ducatur ΔK. itaque si manente ΔK parallelogrammum BK circumuolutum rursus ad eundem locum restituitur, unde ferri coeptum est, figura a $B\Delta$ descripta circulus erit, qui per centrum sphaerae pro-

---

NZ, add. $\Sigma\Lambda$ m. 2, p. ἔστιν V v. 20. Supra παρά scr. ἤτοι παράλληλος m. rec. V. $B\Gamma$] post B ras. V. $Z\Lambda$] corr. ex $Z\Delta$ m. rec. V. 21. Δ κέντρου] κέντρου Δ p. 22. Supra παρά scr. παράλληλος m. rec. V. ἐάν] in ras. m. 1 V. 26. ὅς γε] ς et γ in ras. m. 1 V. ὥστε] ὥ- in ras. m. 1 V.

τὸ ἡμισφαίριον τῆς σφαίρας μόνον ὀφθήσεται ὑπὸ τῶν Ζ, Δ ὀμμάτων.

κε'.

Ἐὰν τὸ τῶν ὀμμάτων διάστημα μεῖζον ᾖ τῆς διαμέτρου τῆς σφαίρας, ἡμισφαιρίου μεῖζον τὸ ὁρώμενον τῆς σφαίρας ὀφθήσεται.

ἔστω γὰρ σφαῖρα, ἧς κέντρον τὸ Κ, τῶν δὲ ὀμμάτων διάστημα τὸ ΒΓ μεῖζον ὂν τῆς διαμέτρου τῆς σφαίρας, καὶ διὰ τοῦ Κ καὶ τῆς ΒΓ ἐκβεβλήσθω ἐπίπεδον καὶ ποιείτω ἐν τῇ σφαίρᾳ κύκλον τὸν ΔΖΝ, καὶ προσπιπτέτωσαν ἀκτῖνες καθ' ἓν ἁπτόμεναι αἱ ΒΔ, ΓΖ. οὐκοῦν ἐκβαλλόμεναι συμπεσοῦνται ἀλλήλαις, ἐπειδὴ ἡ ΒΓ τῆς ἐν τῇ σφαίρᾳ διαμέτρου μείζων ἐστί. συμπιπτέτωσαν δὴ κατὰ τὸ Θ σημεῖον. οὐκοῦν ἐπεὶ ἀπὸ τοῦ Θ σημείου αἱ ΘΖ, ΘΔ καθ' ἓν ἐφαπτόμεναι προσπεπτώκασιν, ἔλασσον ἂν εἴη τὸ ΖΝΔ ἡμικυκλίου· αἱ γὰρ ΘΖΚ, ΘΔΚ γωνίαι ὀρθαί εἰσιν. τὸ ἄρα λοιπὸν τῆς σφαίρας μεῖζον ἡμισφαιρίου ὁρᾶται ὑπὸ τῶν ΒΔ, ΓΖ.

κζ'.

Ἐὰν τὸ τῶν ὀμμάτων διάστημα ἔλασσον ᾖ τῆς διαμέτρου τῆς σφαίρας, τὸ ὁρώμενον τῆς σφαίρας ἔλασσον ἡμισφαιρίου ὀφθήσεται.

ἔστω γὰρ σφαῖρα, ἧς κέντρον τὸ Κ, τῶν δὲ ὀμμάτων διάστημα τὸ ΒΓ ἔλαττον ὂν τῆς διαμέτρου τῆς σφαίρας, καὶ διὰ τοῦ Κ καὶ τῆς ΒΓ ἐκβεβλήσθω ἐπίπεδον καὶ ποιείτω ἐν τῇ σφαίρᾳ κύκλον τὸν ΖΗΝ.

---

5. ἡμισφαίριον v, et p, sed corr. 10. ποιείτο v. 11. ἀκτῖνος v, sed corr. ἓν] ὂν σημεῖον v, σημεῖον add. m. rec. V.

ductus erit. ergo hemisphaerium tantum sphaerae ab oculis Z, Δ cernetur.

26.

Si distantia oculorum diametro sphaerae maior est, quae cernitur pars sphaerae, maior erit hemisphaerio.

sit enim sphaera, cuius centrum sit K, oculorum autem distantia sit $B\Gamma$ maior diametro sphaerae, et per K et $B\Gamma$ planum producatur et in sphaera circulum ΔZN efficiat, radiique adcidant $B\Delta$, ΓZ in uno puncto tangentes. productae igitur inter se concident, quoniam $B\Gamma$ diametro sphaerae maior est. concidant igitur in puncto Θ. itaque quoniam a puncto Θ rectae ΘZ, $\Theta\Delta$ in uno puncto contingentes adciderunt, $ZN\Delta$ semicirculo minor est; nam anguli ΘZK, $\Theta\Delta K$ recti sunt. ergo pars reliqua sphaerae, quae a $B\Delta$, ΓZ cernitur, hemisphaerio maior est.



27.

Si distantia oculorum diametro sphaerae minor est, quae cernitur pars sphaerae, minor est hemisphaerio.

sit enim sphaera, cuius centrum sit K, distantia autem oculorum sit $B\Gamma$ minor diametro sphaerae, et per K et $B\Gamma$ planum producatur et in sphaera cir-

17. Post γάρ add. ὑπό m. rec. V. εἶσι p. 25. ἔλαττον] -ττ- in ras. m. 1 V. 27. ποιείτο v. τόν] corr. ex τό V.

ἤχθωσαν δὲ ἀπὸ τῶν Β, Γ ὀμμάτων καθ' ἓν ἐφαπτόμεναι αἱ ΒΖ, ΓΝ καὶ συμπιπτέτωσαν ἀλλήλαις κατὰ τὸ Θ· συμπεσοῦνται γάρ, ἐπειδήπερ ἄνισοί εἰσιν ἥ τε ΓΒ καὶ ἡ τῆς σφαίρας διάμετρος. οὐκοῦν αἱ ἀπὸ τοῦ Θ σημείου προσπίπτουσαι πρὸς τὴν σφαῖραν ἔλαττον ἡμισφαιρίου περιλήψονται· τὸ ἄρα ΖΗΝ ἔλασσον ἡμισφαιρίου ἐστίν. ὥστε τὸ ὑπὸ τῶν Β, Γ ὀμμάτων ὁρώμενον ἔλασσον ἂν εἴη ἡμισφαιρίου.



κη'.

Κυλίνδρου ὁπωσοῦν ὁρωμένου ὑπὸ τοῦ ἑνὸς ὄμματος ἔλαττον ἡμικυλίνδρου ὀφθήσεται.

ἔστω γὰρ κυλίνδρου τοῦ περὶ τὴν βάσιν κύκλου κέντρον τὸ Κ, καὶ ἀπὸ τοῦ Ν ὄμματος ἤχθω ἐπὶ τὸ Κ ἡ ΝΚ, καὶ διὰ τοῦ Κ πρὸς ὀρθὰς αὐτῇ ἤχθω ἡ ΒΓ, περὶ δὲ τὴν ΚΝ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΝΖ, ΖΚ, ΝΔ, ΔΚ. οὐκοῦν ὀρθαὶ αἱ πρὸς τοῖς Ζ, Δ· καθ' ἓν ἄρα ἐφάπτονται αἱ ΖΝ, ΝΔ, καὶ αἵ γε ἀπὸ τοῦ Ν ὄμματος φερόμεναι ἀκτῖνες κατὰ τὰς ΝΖ, ΝΔ πεσοῦνται· ὥστε τὸ ΖΔΔ μόνον ὀφθήσεται. ἀλλὰ τὸ ΖΔΔ ἔλαττόν ἐστι τοῦ ΓΔΒ ἡμικυκλίου· τὸ ἄρα ΖΔΔ ἔλασσον ἡμικυκλίου ὀφθήσεται, τουτέστιν ὁ κύλιν-

4. ἐπειδήπερ — 6. διάμετρος] mut. m. rec. in ἐπειδὴ ἐλάσσων ἐστὶν ἡ ΒΓ τῆς διαμέτρου τῆς σφαίρας V. 19. τοῦ] corr

culum ZHN efficiat. ducantur autem ab oculis B, Γ rectae BZ, ΓN in uno puncto contingentes et inter se concidant in Θ; concident enim, quoniam ΓB et diametrus sphaerae inaequales sunt. itaque rectae a puncto Θ ad sphaeram adcidentes minus hemisphaerio comprehendent. quare ZHN minus hemisphaerio est. ergo quae a B, Γ oculis cernitur pars, minor est hemisphaerio.

28.

Quomodocunque cylindrus ab uno oculo cernitur, minus semicylindro cernetur.



sit enim K centrum circuli basim cylindri comprehendentis, et ab oculo N ad K ducatur NK, et per K ad eam perpendicularis ducatur $B\Gamma$, circum KN autem circulus describatur, ducanturque NZ, ZK, $N\Delta$, ΔK. recti igitur sunt anguli ad Z, Δ positi. quare ZN, $N\Delta$ in uno puncto contingunt, et radii, qui ab N oculo feruntur, per NZ, $N\Delta$ cadent. quare $Z\Lambda\Delta$ arcus solus cernetur. uerum $Z\Lambda\Delta$ minor est semicirculo $\Gamma\Lambda B$. itaque $Z\Lambda\Delta$ minor semicirculo cernetur, hoc est cylindrus ipse; nam per totam super-

---

ex τό m. 2 V, om. p. περί] παρά comp. p. 22. περί] παρά comp. p. 27. ἐστιν v. 28. ἡμικυκλίου] ἡμικυλίνδρου V, fortasse recte.

δρος· ὁμοίως γὰρ τῇ βάσει κατὰ πᾶσαν ἐπιφάνειαν τοῦ κυλίνδρου δείξομεν. ὥστε ὅλου τοῦ κυλίνδρου τοῦ ἡμίσεος ἔλαττον φαίνεται.

κθ'.

Τοῦ δὲ ὄμματος ἔγγιον τεθέντος τοῦ κυλίνδρου ἔλασσον μὲν ἔσται τὸ περιλαμβανόμενον ὑπὸ τῶν ὄψεων τοῦ κυλίνδρου, δόξει δὲ μεῖζον ὁρᾶσθαι.

ἔστω γὰρ κυλίνδρου τοῦ περὶ τὴν βάσιν κύκλου κέντρον τὸ K, καὶ ἀπὸ τοῦ B ὄμματος ἐπὶ τὸ K κέν-
10 τρον ἐπεζεύχθω ἡ BK, διὰ δὲ τοῦ K πρὸς ὀρθὰς ἤχθω ἡ $\Gamma\Delta$, καὶ περὶ τὴν KB κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ BN, NK, $B\Lambda$, ΛK. διὰ δὴ τὰ πρότερον τὸ ΛZN ἔλαττόν ἐστιν ἡμικυκλίου, καὶ ὁμοίως τῇ βάσει ὅλου τοῦ κυλίνδρου ἔλαττον ἢ τὸ ἥμισυ ὁραθήσεται.
15 προσήχθω δὴ τὸ ὄμμα καὶ ἔστω τὸ Φ, καὶ περὶ τὴν ΦK κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΦP, PK, $K\Sigma$, $\Sigma\Phi$. οὐκοῦν αἱ ἀπὸ τοῦ Φ ἀκτῖνες προσπίπτουσαι κατὰ τὰς ΦP, $\Phi\Sigma$ πεσοῦνται, αἱ δέ γε ἀπὸ τοῦ B κατὰ τὰς $B\Lambda$, BN· μεῖζον ἄρα τὸ $NZ\Lambda$ τοῦ $PZ\Sigma$.
20 δοκεῖ δὲ μεῖζον φαίνεσθαι τὸ $PZ\Sigma$ τοῦ $NZ\Lambda$· μείζων γὰρ ἡ Φ γωνία τῆς B γωνίας. ὥστε καὶ τοῦ κυλίνδρου ἔλαττον μέρος ὀφθήσεται, δοκεῖ δὲ μεῖζον ὁρᾶσθαι.

---

1. ἐπιφάνιαν v. 2. Ante δείξομεν ins. τὸ αὐτὸ συμβαῖνον m. rec. V. 3. ἡμίσεως V, sed corr. 5. δέ] del. m. rec. V. ἔγγειον V. 9. K (alt.)] e corr. m. 1 V. 12. διά — 14. ὁραθήσεται] mg. m. 2 V, om. v. 14. ἤ] om. p. 20. Post $NZ\Lambda$ ras. 1 litt. V. μεῖζον v. 21. Ante Φ ins. πρὸς τῷ m. rec. V. Ante B ins. πρὸς τῷ m. rec. V.

ficiem cylindri eandem rationem exstare demonstrabimus, quae in basi. ergo e toto cylindro minus dimidio adparet.

29.

Oculo autem cylindro adpropinquante pars cylindri, quae radiis comprehenditur, minor erit, maior autem pars cerni uidebitur.

sit enim K centrum circuli basim cylindri comprehendentis, et ab oculo B ad centrum K ducatur BK, per K autem perpendicularis ducatur $\Gamma\Delta$, et circum KB circulus describatur, ducanturque BN, NK, $B\Lambda$, ΛK. itaque propter ea, quae antea dicta sunt, ΛZN minor est semicirculo, et eadem ratione, qua ex basi, etiam e toto cylindro minus dimidio cernetur. iam oculus adpropinquet et sit Φ, circum ΦK autem circulus describatur, ducanturque ΦP, PK, $K\Sigma$, $\Sigma\Phi$. taque radii a Φ adcidentes per ΦP, $\Phi\Sigma$ cadent, qui utem a B adcidunt, per $B\Lambda$, BN. quare $NZ\Lambda > PZ\Sigma$. idetur autem $PZ\Sigma$ maius adparere quam $NZ\Lambda$; am $\angle\ \Phi > B$. ergo pars minor cylindri cernetur, idetur autem cerni maior.



λ'.

Κώνου κύκλον ἔχοντος τὴν βάσιν ὑπὸ τοῦ ἑνὸς ὄμματος ὁρωμένου ἔλασσον ἡμικωνίου ὀφθήσεται.

ἔστω γὰρ κώνου βάσις κύκλος, οὗ κέντρον τὸ Κ, καὶ ἀπὸ τοῦ Β ὄμματος ἤχθω ἐπὶ τὸ κέντρον ἡ ΒΚ, καὶ διὰ τοῦ Κ πρὸς ὀρθὰς τῇ ΚΒ ἡ ΝΛ, περὶ δὲ τὴν ΚΒ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΒΖ, ΖΚ, ΒΔ, ΔΚ. οὐκοῦν ὀρθαί εἰσιν αἱ πρὸς τοῖς Ζ, Δ γωνίαι· καθ' ἓν ἄρα ἐφάπτονται αἱ ΒΔ, ΒΖ, καὶ αἵ γε ἀπὸ τοῦ ὄμματος ἀκτῖνες προσπίπτουσαι κατὰ τὰς ΒΔ, ΒΖ πεσοῦνται. ἔσται δὴ ὁρώμενον τὸ ΖΡΔ ἔλασσον ὂν τοῦ ΝΡΛ. ἀλλὰ τὸ ΝΡΛ ἡμικύκλιόν ἐστιν· τὸ ἄρα ΖΡΔ ἔλασσόν ἐστιν ἡμικυκλίου. ὥστε καὶ τὸ ὁρώμενον τοῦ κώνου ἔλασσόν ἐστιν ἡμικωνίου· ὁμοίως γὰρ καὶ ἐπὶ τῶν λοιπῶν κύκλων τῶν ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ δείξομεν.

λα'.

Τοῦ δὲ ὄμματος ἔγγιον μετατεθέντος ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἔλασσον μὲν ἔσται τὸ ὑπὸ τῶν ὄψεων περιλαμβανόμενον μέρος, δόξει δὲ μεῖζον ὁρᾶσθαι.

ἔστω γὰρ κώνου βάσις κύκλος, οὗ κέντρον ἔστω τὸ Κ, ὄμμα δὲ ἔστω τὸ Α, καὶ ἀπὸ τοῦ Α ἐπὶ τὸ Κ ἐπεζεύχθω ἡ ΑΚ, καὶ πρὸς ὀρθὰς αὐτῇ ἤχθω διὰ τοῦ Κ ἡ ΓΚΒ, γεγράφθω δὲ περὶ τὴν ΑΚ κύκλος, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΖΚ, ΑΔ, ΔΚ. μετακείσθω δὴ

---

8. Δ] Δ ὡς ἡμικύκλου v. 9. ΒΖ] corr. ex ΔΖ m. 1 V. 10. Post τοῦ ins. Β m. rec. V. 11. ΖΡΔ] ΖΔ v. 12. ΝΡΛ (alt.)] Ν postea ins. V. ἐστι Vp. 13. ἡμικυκλίου pr. κ in ras. V. 15. ἐν τῇ] in ras. m. 1 V. 18. δέ] del. m. rec. V. ἔγγειον V, sed corr. m. rec. 22. ἐπί] in ras. m. 1 V. 23. ἐπιζεύχθω V, sed corr. 24. ΓΚΒ] ΚΓΒ V.

30.

Ubi conus circulum basim habens ab uno oculo cernitur, minus hemiconio cernetur.

sit enim circulus, cuius centrum K, basis coni, et a B oculo ad centrum ducatur BK, et per K ad KB perpendicularis $N\Delta$, circum KB autem circulus describatur, ducanturque BZ, ZK, $B\Delta$, ΔK. anguli igitur ad Z, Δ positi recti sunt; quare $B\Delta$, BZ in uno puncto contingunt, et radii ab oculo adcidentes per $B\Delta$, BZ cadent. cernetur igitur $ZP\Delta$, quod minus est quam $NP\Delta$. uerum $NP\Delta$ semicirculus est. itaque $ZP\Delta$ semicirculo minus est. ergo etiam ea pars coni, quae cernitur, hemiconio minor est; idem enim etiam de ceteris circulis superficiei coni demonstrabimus.



31.

Oculo autem in eodem plano in locum propiorem transposito pars a radiis comprehensa minor erit, uidebitur autem maior pars cerni.

sit enim circulus, cuius centrum sit K, basis coni, oculus autem sit Λ, et ab Λ ad K ducatur ΛK, et ad eam perpendicularis per K ducatur ΓKB, circum ΛK autem circulus describatur, ducanturque ΛZ, ZK, $\Lambda\Delta$, ΔK. iam oculus Λ ad N transponatur,

τὸ Α ὄμμα ἐπὶ τὸ Ν, καὶ περὶ τὴν ΚΝ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΝΡ, ΡΚ, ΝΣ, ΣΚ. οὐκοῦν αἱ ἀπὸ τοῦ Α ὄμματος ἀκτῖνες προσπίπτουσαι κατὰ τὰς ΑΔ, ΑΖ πεσοῦνται· ὥστε φανεῖται τὸ ΖΦΔ. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ ἀπὸ τοῦ Ν ὄμματος ἀκτῖνες προσπίπτουσαι κατὰ τὰς ΝΡ, ΝΣ πεσοῦνται· ὀφθήσεται ἄρα τὸ ΡΦΣ. μεῖζον δὲ τὸ ΖΦΔ τοῦ ΡΦΣ. φαίνεται δὲ ἔλασσον· μείζων γὰρ ἡ πρὸς τῷ Ν γωνία τῆς πρὸς τῷ Α γωνίας.

λβ'.

Κώνου κύκλον ἔχοντος τὴν βάσιν, ἐὰν ἀπὸ τῶν συναφῶν τῶν ἀπὸ τοῦ ὄμματος πρὸς τὴν τοῦ κώνου βάσιν προσπιπτουσῶν ἀκτίνων εὐθεῖαι διαχθῶσι διὰ τῆς ἐπιφανείας τῆς τοῦ κώνου πρὸς τὴν κορυφὴν αὐτοῦ, διὰ δὲ τῶν ἀχθεισῶν καὶ τῶν ἀπὸ τοῦ ὄμματος πρὸς τὴν βάσιν τοῦ κώνου προσπιπτουσῶν ἐπίπεδα ἐκβληθῇ, ἐπὶ δὲ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων τὸ ὄμμα τεθῇ, τὸ ὁρώμενον τοῦ κώνου ἴσον διὰ παντὸς ὀφθήσεται τῆς ὄψεως ἐπὶ παραλλήλου ἐπιπέδου τῷ προϋποκειμένῳ ἐπιπέδῳ ὑπαρχούσης.

ἔστω γὰρ κῶνος, οὗ βάσις μὲν ὁ ΓΔ κύκλος, κορυφὴ δὲ τὸ Β σημεῖον, ὄμμα δὲ τὸ Κ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΔ, ΚΓ ἁπτόμεναι κατὰ τὰ Γ, Δ, καὶ ἐπεζεύχθωσαν ἀπὸ τῶν Δ, Γ σημείων ἐπὶ τὴν κορυφὴν τοῦ κώνου αἱ ΔΒ, ΓΒ, καὶ διὰ μὲν τῶν

---

5. καὶ αἱ] corr. ex καί m. 2 V. 7. ΖΦΔ] ΖΦΛ pv et e corr. V. 8. μεῖζον v. 9. τῷ] τό pv. 11. κόνου V, sed corr. 14. ἐπιφανίας v. 15. ἀχθεισῶν] -ει- e corr. V. 16. Ante ἐπίπεδα ras. 2 litt. V. 19. παραλλήλου] comp. Vpv, omnibus litteris scriptum add. m. rec. V. 24. Δ, Γ] Γ, Δ p. 25. αἱ] in ras. V.

et circum KN circulus describatur, ducanturque NP, PK, $N\Sigma$, ΣK. itaque radii ab A oculo adcidentes per $A\Delta$, AZ cadent; cernetur igitur $Z\Phi\Delta$. eadem de causa etiam radii ab N oculo adcidentes per NP, $N\Sigma$ cadent; cernetur igitur $P\Phi\Sigma$. uerum

$$Z\Phi\Delta > P\Phi\Sigma.$$

uidetur autem minus esse; nam

$$\angle N > A.$$



32.

Si in cono circulum basim habenti a punctis contactus radiorum ab oculo ad basim coni adcidentium per superficiem coni ad uerticem rectae ducuntur, et per rectas ita ductas radiosque ab oculo ad basim coni adcidentes plana ducuntur, oculusque in communi planorum sectione collocatur, pars coni, quae cernitur, semper eadem manebit, si uisus per planum plano ab initio supposito parallelum egreditur.

sit enim conus, cuius basis sit circulus $\Gamma\Delta$, uertex autem B punctum, oculus uero sit K, a quo adcidant radii $K\Delta$, $K\Gamma$ in punctis Γ, Δ tangentes, et a punctis Δ, Γ ad uerticem coni ducantur ΔB, ΓB, per ΓB, ΓK autem planum ducatur, et per ΔB, ΔK similiter aliud

ΓΒ, ΓΚ ἐπίπεδον ἐκβεβλήσθω, διὰ δὲ τῶν ΔΒ, ΔΚ ὁμοίως ἕτερον ἐπίπεδον ἐκβεβλήσθω. οὐκοῦν συμπεσεῖται [τὰ ἐπίπεδα]· αἵ τε γὰρ ΓΒ, ΔΒ συμπίπτουσι καὶ αἱ ΓΚ, ΚΔ. συμπιπτέτωσαν οὖν τὰ ἐπίπεδα, καὶ ἔστω αὐτῶν κοινὴ τομὴ ἡ ΒΚ. λέγω, ὅτι, ὅπου ἂν ἐπὶ τῆς ΒΚ τεθῇ τὸ ὄμμα, ἴσον τοῦ κώνου τὸ ὁρώμενον φαίνεται.

κείσθω γὰρ ἐπὶ τῆς ΒΚ τὸ Ζ ὄμμα, καὶ ἤχθω διὰ τοῦ Ζ παρὰ μὲν τὴν ΚΔ ἡ ΖΝ, παρὰ δὲ τὴν ΓΚ ἡ ΖΣ. οὐκοῦν αἱ ΖΝ, ΖΣ τῆς τοῦ κώνου ἐπιφανείας κατὰ τὰ Ν, Σ ἐφάπτονται· τὰ γὰρ ἐν τῇ ΒΓΔ τοῦ κώνου ἐπιφανείᾳ τῶν παραλλήλων κύκλων τμήματα ὅμοιά ἐστιν. τὰ ἄρα ἐν τῇ ΒΔΓ τοῦ κώνου ἐπιφανείᾳ διαστήματα ὁρώμενα ἴσα φαίνεται. ἐπεὶ γὰρ ἴση ἐστίν, ἣν περιέχουσιν αἱ ΖΣ, ΖΝ, γωνία τῇ περιεχομένῃ ὑπὸ τῶν ΚΔ, ΚΓ, ἴσον ἂν φαίνοιτο τὸ ΣΝ διάστημα τοῦ κώνου τῷ ΔΓ διαστήματι. ὥσθ' ὅπου ἂν τὸ ὄμμα τεθῇ ἐπὶ τῆς ΚΒ εὐθείας, ἴσον ἀεὶ φανεῖται τὸ ὁρώμενον.

λγ'.

Ἴσον δὲ ἀεὶ τοῦ ὄμματος ἀπὸ τοῦ κώνου ἀπέχοντος μετεώρου μὲν τοῦ ὄμματος τεθέντος ἔλασσον φαίνεται τοῦ κώνου τὸ ὁρώμενον, ταπεινοτέρου δὲ μεῖζον.

ἔστω γὰρ κώνου κορυφὴ μὲν πρὸς τῷ Δ σημείῳ, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ ἤχθω ἡ ΚΘ παρὰ τὴν ΒΔ,

---

1. *ἐκεβλήσθω*, supra scr. *β*, V. 3. *τὰ ἐπίπεδα*] supra scr. V, renou. m. rec. 5. *ἄν*] *δ' ἄν* Vvp. 8. Z] postea ins. m. 1 V. 9. Supra *παρά* (pr.) add. *ἤτοι παράλληλος* m. rec. V. Supra *παρά* (alt.) add. *παράλληλος* m. rec. V. 10. *ΓΚ*] in ras. V. 13. *ἐστι* p. 16. *ΚΓ*] *ΚΝ* p. 17. *τῷ*] corr. ex *τό* m. 1 V. 18. *ἄν*] corr. ex *ᾱ* m. 2 V. 25. *ὁ*] *ὁ περὶ τήν* V.

planum. concident igitur; nam et ΓB, ΔB et ΓK, $K\Delta$ concidunt. concidant igitur plana, et communis eorum sectio sit BK. dico, ubicumque oculus in BK ponatur, partem coni, quae cernatur, aequalem adparere.



ponatur enim in BK oculus Z, et per Z rectae $K\Delta$ parallela ducatur ZN, rectae autem ΓK parallela $Z\Sigma$. ZN, $Z\Sigma$ igitur superficiem coni in N, Σ contingunt; segmenta enim circulorum parallelorum in $B\Gamma\Delta$ superficie coni posita similia sunt. itaque distantiae, quae in $B\Delta\Gamma$ superficie coni cernuntur, aequales adparent. nam quoniam angulus rectis $Z\Sigma$, ZN comprehensus angulo rectis $K\Delta$, $K\Gamma$ comprehenso aequalis est, distantia ΣN in cono distantiae $\Delta\Gamma$ aequalis adparet. ergo ubicumque oculus in recta KB ponitur, pars, quae cernitur, semper aequalis adparebit.

33.

Oculo uero semper idem spatium a cono distante, si sublimis oculus ponitur, pars coni, quae cernitur, minor adparet, si demissior, maior.

sit enim coni uertex ad punctum Δ, basis autem circulus $B\Gamma$, ducaturque $K\Theta$ rectae $B\Delta$ parallela, et

καὶ κείσθω τὸ ὄμμα ἐπὶ τοῦ Θ. φημὶ δὴ ἔλασσον ὀφθήσεσθαι τοῦ κώνου τὸ ὁρώμενον τεθέντος τοῦ ὄμματος ἐπὶ τοῦ Θ σημείου ἤπερ ἐπὶ τοῦ Σ. ἐπεζεύχθωσαν γὰρ ἀπὸ τοῦ Δ σημείου ἐπὶ τὰ Θ, Σ σημεῖα αἱ ΔΘ, ΔΣ καὶ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Ν, Λ. οὐκοῦν ἐπί τε τοῦ Ν καὶ ἐπὶ τοῦ Λ σημείου τεθέντος τοῦ ὄμματος ἄνισα φαίνεται τὰ ὁρώμενα τοῦ κώνου, καὶ ἔλασσον μὲν φαίνεται τὸ πρὸς τῷ Ν, μεῖζον δὲ τὸ πρὸς τῷ Λ. ἴσον δὲ τὸ μὲν πρὸς τῷ Ν τῷ πρὸς τῷ Θ, τὸ δὲ πρὸς τῷ Λ τῷ πρὸς τῷ Σ, ὡς ἐν τῷ πρὸ αὐτοῦ ἐδείχθη. τοῦ ἄρα ὄμματος πρὸς τῷ Θ σημείῳ ὄντος ἔλασσον φαίνεται τὸ ὁρώμενον τοῦ κώνου ἤπερ πρὸς τῷ Σ.

λδ'.

Ἐν κύκλῳ ἐὰν ἀπὸ τοῦ κέντρου πρὸς ὀρθάς τις ἀχθῇ τῷ τοῦ κύκλου ἐπιπέδῳ, ἐπὶ δὲ ταύτης τεθῇ τὸ ὄμμα, ἴσαι αἱ διάμετροι τοῦ κύκλου φαίνονται.

ἔστω γὰρ κύκλος, οὗ κέντρον τὸ Κ, καὶ ἀπὸ τοῦ Κ πρὸς ὀρθὰς ἀνήχθω τῷ ἐπιπέδῳ τοῦ κύκλου ἡ ΚΒ, τὸ δὲ ὄμμα κείσθω ἐπὶ τοῦ Β, καὶ διάμετροι ἤχθωσαν αἱ ΓΑ, ΔΖ. φημὶ δὴ τὴν ΑΓ τῇ ΔΖ ἴσην φαίνεσθαι. ἐπεζεύχθωσαν γὰρ αἱ ΒΑ, ΒΖ, ΒΓ, ΒΔ. οὐκοῦν δύο αἱ ΒΚ, ΚΖ δυσὶ ταῖς ΒΚ, ΚΓ ἴσαι εἰσὶν ἑκατέρα

---

2. ὀφθήσεται p, ὠφθήσεται v. ὡρώμενον v, sed corr. 3. Σ] om. v. 5. Λ] corr. ex Δ m. 2 V. 9. τῷ (sec.)] τό v. τῷ (tert.)] τό pv, et V, corr. m. rec. 10. τῷ Λ τῷ] τὸ Λ τό v. τῷ (tert.)] τό pv. 11. τῷ] τό v. σημείου v, et V, sed corr. ὄντως v. 12. ἔλάσσων V, sed corr. 15. ἀπὸ τοῦ κέντρου] in ras. m. 1 V. 19. τῷ] τό v. 20. τοῦ] om. p. 23. Ante ΒΚ (alt.) eras. Γ V. ΚΓ] corr. ex ΚΔ m. rec. V.

oculus in Θ ponatur. dico igitur, partem minorem coni cerni oculo in Θ posito quam in Σ. ducantur enim a Δ puncto ad Θ, Σ puncta $\Delta\Theta$, $\Delta\Sigma$ et ad N, Λ producantur. itaque partes coni, quae cernuntur, oculo in N posito et in Λ puncto inaequales adparent, et quae ab N cernitur, minor adparet, maior autem, quae ab Λ cernitur [prop. 31]. uerum quae ab N cernitur, aequalis est ei, quae a Θ cernitur, quae autem ab Λ cernitur, ei, quae ab Σ, ut in propositione praecedenti demonstratum est [prop. 32]. ergo pars coni, quae cernitur, minor adparet oculo ad Θ punctum posito quam ad Σ.



34.

Si in circulo a centro ad planum circuli perpendicularis recta erigitur, in eaque oculus ponitur, diametri circuli aequales adparent.

sit enim circulus, cuius centrum sit K, et a K ad planum circuli perpendicularis erigatur KB, oculus autem in B ponatur, ducanturque diametri $\Gamma\Lambda$, ΔZ. dico igitur, adparere $\Lambda\Gamma = \Delta Z$. ducantur enim $B\Lambda$, BZ, $B\Gamma$, $B\Delta$. itaque duae rectae BK, KZ duabus BK, $K\Gamma$ aequales sunt singulae singulis. uerum etiam

ἑκατέρᾳ. ἔστι δὲ καὶ ἡ Ρ γωνία τῇ Σ ἴση· ἴση ἄρα καὶ ἡ ΒΖ βάσις τῇ ΒΓ βάσει. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΔ τῇ ΒΑ ἐστιν ἴση. δύο δὴ αἱ ΔΒ, ΒΖ δυσὶ ταῖς ΓΒ, ΒΑ ἴσαι εἰσίν. ἔστι δὲ καὶ ἡ ΔΖ τῇ ΓΑ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΒΖ γωνίᾳ τῇ ὑπὸ ΓΒΑ ἴση ἐστίν. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. ἴση ἄρα ἡ ΓΑ τῇ ΔΖ φαίνεται.



λε'.

Καὶ ἐὰν ἡ ὑπὸ τοῦ κέντρου ἀναχθεῖσα μὴ πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ, ἴση δὲ τῇ ἐκ τοῦ κέντρου, ἴσαι αἱ διάμετροι φανήσονται.

ἔστω κύκλος, οὗ κέντρον τὸ Κ, καὶ ἀπὸ τοῦ Κ μὴ πρὸς ὀρθὰς ἀνήχθω τῷ ἐπιπέδῳ ἡ ΚΒ, ἴση δὲ ἔστω τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου, καὶ ἐπεζεύχθωσαν ἀπὸ τοῦ Β σημείου αἱ αὐταὶ ταῖς πρότερον. οὐκοῦν ἐπεὶ ἴσαι ἀλλήλαις εἰσὶν αἱ ΔΚ, ΚΒ, ΚΖ, ὀρθὴ ἂν εἴη ἡ περιεχομένη γωνία ὑπὸ τῶν ΖΒΔ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΒΓ ὀρθὴ ἂν εἴη· ἴσαι ἄρα ἔσονται ἀλλήλαις. τὰ δέ γε ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. ἴση ἄρα ἡ ΔΖ τῇ ΑΓ φαίνεται.

---

2. Σ] Σ γωνία p. 3. ΒΓ] corr. ex ΒΔ m. rec. V. 5. ΒΔ] corr. ex ΒΓ m. rec. V. 10. ΓΒΑ] ΓΑΒ p. 11. ἐστί p. 17. Post ἐπιπέδῳ add. τοῦ κύκλου m. rec. V. 18. Ante αἱ add. καὶ οὕτως m. rec. V. 19. Post ἔστω

$\angle P = \Sigma$;[1]) itaque etiam $B\Gamma = BZ$. eadem de causa etiam $B\Delta = BA$. itaque duae ΔB, BZ duabus ΓB, BA aequales sunt. uerum etiam $\Delta Z = \Gamma A$; quare $\angle \Delta BZ = \Gamma BA$. quae autem ab angulis aequalibus cernuntur, aequalia adparent [def. 4]. ergo ΓA rectae ΔZ aequalis adparet.

35.

Etiamsi recta e centro erecta ad planum perpendicularis non est, diametri aequales adparebunt, si modo radio aequalis est.



sit circulus, cuius centrum sit K, et e K erigatur KB ad planum non perpendicularis, radio autem circuli aequalis sit, et a B puncto eaedem rectae ducantur, quae antea. itaque quoniam

$$\Delta K = KB = KZ,$$

rectus erit $\angle ZB\Delta$. eadem de causa $\angle AB\Gamma$ rectus erit; itaque $\angle ZB\Delta = AB\Gamma$. quae autem ab angulis aequalibus cernuntur, aequalia adparent [def. 4]. ergo ΔZ rectae $A\Gamma$ aequalis adparet.

1) Litteris P et Σ mire significantur anguli $BK\Gamma$, BKZ. in figura etiam in angulo BKZ littera T posita est in pv (om. V).

add. γάρ p et m. rec. V. 20. Post ἐπιπέδῳ add. τοῦ κύκλου m. rec. V. 24. Supra ZBΔ add. B m. rec V. τά] -α supra scr. V. 25. καί] om. v. 26. γε] om. p.

Ἀλλὰ δὴ ἡ ΑΖ μήτε ἴση ἔστω τῇ ἐκ τοῦ κέντρου μήτε πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ, ἴσας δὲ γωνίας ποιείτω τὰς ὑπὸ ΔΑΖ, ΖΑΓ καὶ ΕΑΖ, ΖΑΒ. λέγω, ὅτι καὶ οὕτως αἱ διάμετροι ἴσαι φανήσονται. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΓ, κοινὴ δὲ ἡ ΑΖ, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΔΖ βάσει τῇ ΖΓ ἴση ἐστὶν καὶ γωνία ἡ ὑπὸ ΔΖΑ τῇ ὑπὸ ΑΖΓ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΕΖΑ τῇ ὑπὸ ΑΖΒ ἐστιν ἴση. ὅλη ἄρα ἡ ὑπὸ ΔΖΒ ὅλῃ τῇ ὑπὸ ΕΖΓ ἐστιν ἴση. ὥστε αἱ διάμετροι ἴσαι φανήσονται.



λϛ'.

Ἐὰν δὲ ἡ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον προσπίπτουσα τοῦ κύκλου μήτε πρὸς ὀρθὰς ᾖ τῷ τοῦ κύκλου ἐπιπέδῳ μήτε ἴση ᾖ τῇ ἐκ τοῦ κέντρου μήτε ἴσας γωνίας περιέχουσα μετὰ τῶν ἐκ τοῦ κέντρου, μείζων δὲ ἢ ἐλάσσων τῆς ἐκ τοῦ κέντρου, ἄνισοι αἱ διάμετροι φανοῦνται.

ἔστω γὰρ κύκλος, οὗ κέντρον τὸ Α, καὶ ἀπὸ τοῦ Β ὄμματος ἐπὶ τὸ κέντρον τοῦ κύκλου εὐθεῖα ἤχθω ἡ ΒΑ καὶ ἔστω μήτε πρὸς ὀρθὰς τῷ ἐπιπέδῳ μήτε ἴση τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου μήτε ἴσας γωνίας περιέχουσα μετὰ τῶν ἐκ τοῦ κέντρου. λέγω, ὅτι αἱ διάμετροι τοῦ κύκλου ἄνισοι φανήσονται.

---

7. ἴση] εἰσι v. 11. ἐστί p. ΔΖΑ] ΕΖΑ p. 14. ΕΖΑ] Ζ e corr. V. ὑπό] ἀπό v. 15. ΔΖΒ] ΔΒΖ V, corr.

Iam uero AZ ne sit radio aequalis neue ad planum circuli perpendicularis, sed efficiat $\angle \Delta AZ = ZA\Gamma$, $EAZ = ZAB$. dico, sic quoque diametros aequales adparere. nam quoniam $\Delta A = A\Gamma$, et AZ communis, aequalesque angulos comprehendunt, erit $\Delta Z = Z\Gamma$ et $\angle \Delta ZA = AZ\Gamma$. similiter demonstrabimus, esse etiam $\angle EZA = AZB$. itaque totus $\angle \Delta ZB = EZ\Gamma$. ergo diametri aequales adparebunt.[1])

36.

Sin recta ab oculo ad centrum circuli adcidens neque ad planum circuli perpendicularis est neque radio aequalis neque cum radiis angulos aequales comprehendens, sed radio uel maior uel minor, diametri inaequales adparebunt.



sit enim circulus, cuius centrum sit A, et ab oculo B ad centrum circuli recta ducatur BA et sit neque ad planum perpendicularis neque radio circuli aequalis neque cum radiis aequales angulos comprehendens. dico, diametros circuli inaequales adparere.

1) Litteras figurae dedi ex V v, in p nostris ita respondent, ut pro A, B, Γ, Δ, E, Z sint K, Z, A, Δ, Γ, B.

m. rec. 18. ἐὰν δὲ ἡ] in ras. V. 21. μήζων V, sed corr.; μεῖζον v.

ἤχθω γὰρ ἡ μὲν ΓΖ διάμετρος πρὸς ὀρθὰς οὖσα τῇ ΑΒ, ἡ δὲ ΔΚ ἀνίσους ποιοῦσα γωνίας πρὸς τῇ ΑΒ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΓ, ΒΔ, ΒΖ, ΒΚ, ἔστω δὲ πρότερον ἡ ΒΑ τῆς ΑΚ μείζων. οὐκοῦν μείζων ἐστὶν ἡ περιεχομένη γωνία ὑπὸ τῶν ΓΒΖ τῆς περιεχομένης ὑπὸ τῶν ΚΒΔ, ὡς ἐν τοῖς θεωρήμασιν ἀποδείκνυται. τὰ δέ γε ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται· μείζων ἄρα ἡ ΓΖ τῆς ΔΚ φαίνεται. ἐὰν δὲ ἡ ΒΑ τῆς ΑΚ ἐλάσσων ᾖ, μείζων φαίνεται ἡ ΔΚ τῆς ΓΖ.

Ἔστω κύκλος, οὗ κέντρον τὸ Α, ὄμμα δὲ τὸ Β, ἀφ' οὗ ἡ ἐπὶ τὸν κύκλον κάθετος ἀγομένη μὴ πιπτέτω ἐπὶ τὸ κέντρον τὸ Α, ἀλλ' ἐκτός, καὶ ἔστω ἡ ΒΓ, καὶ ἐπεζεύχθω ἀπὸ τοῦ Γ ἐπὶ τὸ Α ἡ ΓΑ, ἔτι δὲ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἡ ΒΑ. λέγω, ὅτι πασῶν τῶν διὰ τοῦ Α διαγομένων εὐθειῶν καὶ ποιουσῶν πρὸς τῇ ΒΑ γωνίας ἐλαχίστη ἐστὶν ἡ ὑπὸ τῶν ΓΑΒ. διήχθω γὰρ εὐθεῖα ἡ ΔΑΕ, καὶ ἤχθω ἀπὸ τοῦ Γ ἐπὶ τὴν ΔΕ κάθετος ἐν τῷ ἐπιπέδῳ ἡ ΓΖ, καὶ ἐπεζεύχθω ἡ ΒΖ· καὶ ἡ ΒΖ ἄρα ἐπὶ τὴν ΔΕ κάθετός ἐστιν. ἐπεὶ οὖν ὀρθὴ ἡ ὑπὸ ΓΖΑ, ἡ ὑπὸ ΑΓΖ ἄρα ἐλάσσων ἐστὶν ὀρθῆς· μείζων ἄρα ἡ ΑΓ πλευρὰ τῆς ΑΖ. ἡ ΒΑ ἄρα πρὸς τὴν ΑΖ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὴν ΑΓ. ἀλλ' ἡ ὑπὸ τῶν ΑΓΒ γωνία καὶ ἡ ὑπὸ τῶν ΒΖΑ εἰσιν ὀρθαί, καί εἰσιν αἱ ΓΑ, ΑΖ ἄνισοι· καὶ λοιπὴ

4. μείζων (pr.)] μεῖζον v. μείζων (alt.)] μεῖζον v, μεί- in ras. V. 6. Post τοῖς add. προτέροις m. rec. V. ἀποδείκνυται] mut. in ἀποδέδεικται m. rec. V. 7. μείζονος v, sed corr. 11. λζ' Vpv. κέντρον] m. rec. V, comp. m. 1. 12. ἀγωμένη V, sed corr. 16. ποιουσῶν] -σῶν e corr. m. rec. V. Post τῇ ras. 1 litt. V. 17. τῶν] del. m. rec. V, seq. ras. 2 litt. v. 18. τήν] τό v. 22. μεῖζον v. ΑΓ]

ducatur enim diametrus ΓZ ad AB perpendicularis, ΔK autem cum AB angulos inaequales efficiens, ducanturque $B\Gamma$, $B\Delta$, BZ, BK; sit autem prius $BA > AK$. itaque $\angle \Gamma BZ > KB\Delta$, ut in propositionibus[1]) demonstrabitur. quae autem ab angulo maiore cernuntur, maiora adparent. itaque ΓZ maior adparet quam ΔK. sin est $BA < AK$, ΔK maior adparet quam ΓZ.

Sit circulus, cuius centrum sit A, oculus autem sit B, a quo quae ad circulum perpendicularis ducitur, in A centrum ne cadat, sed extra, sitque $B\Gamma$, et ducatur a Γ ad A recta ΓA, praetereaque ab A ad B recta BA. dico, omnium rectarum, quae per A ducantur et cum BA angulos efficiant, minimum angulum efficere ΓA, scilicet $\angle \Gamma AB$. ducatur enim recta ΔAE, et a Γ ad ΔE perpendicularis in plano ducatur ΓZ, et ducatur BZ; itaque etiam BZ ad ΔE perpendicularis est. iam quoniam $\angle \Gamma ZA$ rectus est, $\angle A\Gamma Z$ minor est recto; quare $A\Gamma > AZ$. itaque $BA : AZ > BA : A\Gamma$. anguli autem $A\Gamma B$ et BZA



1) Significantur lemmata, quae sequuntur.

---

corr. ex AB v. 24. τῶν (utrumque)] del. m. rec. V. 25. ΓA] Γ in ras. V.

ἄρα ἡ ὑπὸ τῶν ΖΑΒ τῆς ὑπὸ τῶν ΓΑΒ ἐστι μείζων. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ πασῶν τῶν διὰ τοῦ Α διαγομένων εὐθειῶν καὶ ποιουσῶν πρὸς τῇ ΑΒ εὐθείᾳ γωνίαν ἐλαχίστη ἐστὶν ἡ ὑπὸ τῶν ΓΑΒ.

Ὅτι ἡ ΖΒ τῇ ΔΕ ἐστι πρὸς ὀρθάς, δείξομεν οὕτως. ἐπεὶ ἡ ΒΓ τῷ τοῦ κύκλου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς, καὶ πάντα ἄρα τὰ διὰ τῆς ΒΓ ἐπίπεδα ἐκβαλλόμενα τῷ τοῦ κύκλου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. ἓν δὲ τῶν διὰ τῆς ΒΓ ἐκβαλλομένων ἐπιπέδων ἐστὶ τὸ ΒΓΖ τρίγωνον· καὶ τὸ ΒΓΖ ἄρα τρίγωνον τῷ τοῦ κύκλου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. ἐπεὶ οὖν δύο ἐπίπεδα τό τε τοῦ ΕΔ κύκλου καὶ τὸ τοῦ ΒΓΖ τριγώνου τέμνουσιν ἄλληλα, καὶ τῇ κοινῇ αὐτῶν τομῇ τῇ ΓΖ πρὸς ὀρθάς ἐστιν ἡ ΖΔ ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ· κάθετος γὰρ ἦκται ἡ ΓΖ ἐπὶ τὴν ΕΔ· καὶ ἡ ΖΔ ἄρα τῷ τοῦ ΒΓΖ τριγώνου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. ὥστε καὶ πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ τοῦ ΓΖΒ τριγώνου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς· ἡ ΔΖ ἄρα τῇ ΖΒ ἐστι πρὸς ὀρθάς. ἀνάπαλιν ἄρα ἡ ΒΖ τῇ ΕΖΔ διαμέτρῳ ἐστὶ πρὸς ὀρθάς.

Ἔστω δύο τρίγωνα τὰ ΒΓΑ, ΒΖΑ ὀρθὰς ἔχοντα τὰς πρὸς τοῖς Γ, Ζ γωνίας, καὶ ἡ ΒΑ πρὸς ΖΑ μείζονα λόγον ἐχέτω ἤπερ πρὸς τὴν ΓΑ. λέγω, ὅτι μείζων ἐστὶν ἡ ὑπὸ ΖΑΒ γωνία τῆς ὑπὸ ΓΑΒ γωνίας. ἐπεὶ γὰρ ἡ ΒΑ πρὸς τὴν ΖΑ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὴν ΓΑ, καὶ ἀνάπαλιν ἄρα ἡ ΖΑ πρὸς τὴν ΑΒ

---

1. τῶν (utrumque)] del. m. rec. V. ἐστιν Vv. 3. Post τῇ ras. 1 litt. V. 4. τῶν] del. m. rec. V. 5. λη΄ Vpv, del. in v. Post ὅτι ins. δέ m. rec. V. ἐστιν Vv. 6. ἐστίν Vv. 8. τῶν] corr. ex τῷ m. 2 V. 9. ἐκβαλλόμενον

recti sunt, et $\Gamma\Delta$, ΔZ inaequales. itaque etiam $\angle ZAB > \Gamma AB$: similiter demonstrabimus, omnium rectarum, quae per Δ ducantur et cum recta AB angulos efficiant, minimum angulum efficere $\Gamma\Delta$, scilicet $\angle \Gamma AB$.

ZB ad ΔE perpendicularem esse, sic demonstrabimus:

quoniam $B\Gamma$ ad planum circuli perpendicularis est, etiam omnia plana, quae per $B\Gamma$ ducuntur, ad planum circuli perpendicularia sunt. inter plana autem per $B\Gamma$ ducta etiam triangulus $B\Gamma Z$ est; quare etiam triangulus $B\Gamma Z$ ad planum circuli perpendicularis est. iam quoniam duo plana, et circuli $E\Delta$ et trianguli $B\Gamma Z$, inter se secant, et ad ΓZ communem eorum sectionem perpendicularis est $Z\Delta$ in plano circuli (ΓZ enim ad $E\Delta$ perpendicularis ducta est), $Z\Delta$ etiam ad planum trianguli $B\Gamma Z$ perpendicularis est. quare etiam ad omnes rectas eam tangentes et in plano trianguli ΓZB positas perpendicularis est. itaque ΔZ ad ZB perpendicularis est. ergo uicissim BZ ad $EZ\Delta$ diametrum perpendicularis est.

Sint duo trianguli $B\Gamma\Delta$, BZA angulos ad Γ, Z positos rectos habentes, et sit $BA : ZA > B\Delta : \Gamma\Delta$. dico, esse $\angle ZAB > \Gamma AB$. nam quoniam est

$$BA : ZA > B\Delta : \Gamma\Delta,$$

πίπεδον V, corr. m. rec. ἐστίν Vv. 11. ἐστίν Vv. 14. ῷ τοῦ] -ῷ τ- in ras. V. 15. τῷ] τό v. 16. ἐστίν Vv. 18. τριγώνῳ v, -ον in ras. V. ἐστίν V. ΔΖ] ΔΕ p. 19. ἐστιν Vv. 20. ἐστίν Vv. 21. λθ' Vpv, in v del. 22. Ante ΖΑ ins. τήν m. rec. V. 23. μείζων] μεῖζον v. 25. άρ] om. v. 26. ΓΑ] Α e corr. V. ΑΒ] Α e corr. V.

ἐλάσσονα λόγον ἔχει, οὗ ἔχει ἡ ΓΑ πρὸς ΑΒ· ὥστε ἡ ΓΑ πρὸς ΑΒ μείζονα λόγον ἔχει ἤπερ ἡ ΖΑ πρὸς ΑΒ. πεποιήσθω οὖν, ὡς ἡ ΓΑ πρὸς ΑΒ, οὕτως ἡ ΖΑ πρὸς ἐλάσσονα τῆς ΑΒ τὴν ΑΔ· ἰσογώνια ἄρα ἐστὶ τὰ τρίγωνα τὰ ΒΓΑ, ΔΖΑ. ὥστε ἴση ἐστὶν ἡ ὑπὸ ΓΑΒ γωνία τῇ ὑπὸ ΖΑΔ. μείζων ἄρα ἡ ὑπὸ ΖΑΒ γωνία τῆς ὑπὸ ΓΑΒ.



Ἔστω κύκλος ὁ ΑΓΒΔ, καὶ διήχθωσαν δύο διάμετροι αἱ ΑΒ, ΓΔ τέμνουσαι ἀλλήλας πρὸς ὀρθάς, ὅμμα δὲ ἔστω τὸ Ε, ἀφ' οὗ ἡ ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη ἡ ΕΖ πρὸς ὀρθὰς μὲν ἔστω τῇ ΓΔ, πρὸς δὲ τὴν ΑΒ τυχοῦσαν γωνίαν περιεχέτω, καὶ ἔστω ἡ ΕΖ ἑκατέρας τῶν ἐκ τοῦ κέντρου μείζων. ἐπεὶ οὖν ἡ ΓΔ ἑκατέρᾳ τῶν ΑΒ, ΕΖ ἐστι πρὸς ὀρθάς, καὶ πάντα ἄρα τὰ διὰ τῆς ΓΔ ἐπίπεδα ἐκβαλλόμενα τῷ διὰ τῶν ΕΖ, ΑΒ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. ἤχθω οὖν ἀπὸ τοῦ Ε σημείου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος· ἐπὶ τὴν κοινὴν ἄρα τομὴν πίπτει τῶν ἐπιπέδων τὴν ΑΒ. πιπτέτω οὖν καὶ ἔστω ἡ ΕΚ, καὶ διήχθω διάμετρος ἡ ΗΘ, καὶ κείσθω τῇ διαμέτρῳ τοῦ κύκλου ἴση ἡ ΑΜ καὶ τετμήσθω δίχα κατὰ τὸ Ν.

---

3. πεποιείσθω v. 5. ΑΔ] corr. ex ΑΒ m. 1 V. 6. ἐστίν Vv. 7. ΒΓΑ] Α corr. ex Δ m. rec. V. 9. μεῖζον v 10. ΖΑΒ] Β e corr. m. rec. V. 11. μ' Vpv, del. v. Ant δύο eras. αἱ V. 17. ἐστιν Vv. 20. Post σημείου add. in media linea — Vv. 23. ΗΘ] corr. ex ΕΘ V. 24. Pos ΑΜ del. πρὸς ὀρθάς p.

etiam e contrario est $ZA : AB < \Gamma A : AB$. quare $\Gamma A : AB > ZA : AB$. fiat igitur $\Gamma A : AB = ZA : A\Delta$, quae minor est quam AB. itaque trianguli $B\Gamma A$, ΔZA aequianguli sunt; quare $\angle \Gamma AB = ZA\Delta$. ergo $\angle ZAB > \Gamma AB$.

Sit circulus $A\Gamma B\Delta$, et ducantur duae diametri AB, $\Gamma\Delta$ inter se ad angulos rectos secantes, oculus autem sit E, a quo quae ad centrum ducitur EZ, ad $\Gamma\Delta$ perpendicularis sit, cum AB autem quemuis



angulum contineat, et EZ utroque radio maior sit. iam quoniam $\Gamma\Delta$ ad utramque AB, EZ perpendicularis est, etiam omnia plana, quae per $\Gamma\Delta$ ducuntur, ad planum per EZ, AB ductum perpendicularia sunt. iam ab E puncto ad planum subiacens perpendicularis ducatur; cadit igitur in AB communem planorum

καὶ ἀνήχθω ἀπὸ τοῦ N τῇ ΛM πρὸς ὀρθὰς μετέωρος εὐθεῖα ἡ $N\Xi$, καὶ ἔστω ἡ $N\Xi$ τῇ EZ ἴση· τὸ ἄρα περὶ τὴν ΛM γραφόμενον τμῆμα καὶ ἐρχόμενον διὰ τοῦ Ξ μεῖζόν ἐστιν ἡμικυκλίου, ἐπειδήπερ ἡ $N\Xi$ μείζων ἐστὶν ἑκατέρας τῶν ΛN, NM. ἔστω τὸ $\Lambda\Sigma\Xi M$, καὶ ἐπεζεύχθωσαν αἱ $\Xi\Lambda$, ΞM. ἡ ἄρα πρὸς τῷ Ξ γωνία ἡ περιεχομένη ὑπὸ τῶν $\Lambda\Xi M$ ἴση ἐστὶ τῇ πρὸς τῷ E σημείῳ τῇ περιεχομένῃ ὑπὸ τῶν ἐπιζευγνυουσῶν τὸ E καὶ τὰ Γ, Δ σημεῖα. ἐκκείσθω τῇ ὑπὸ τῶν EZ, ZH ἴση ἡ ὑπὸ τῶν ΛN, NO, καὶ ἀφῃρήσθω ἴση τῇ EZ ἡ NO, καὶ ἐπεζεύχθωσαν αἱ ΛO, MO, καὶ περιγεγράφθω περὶ τὸ ΛOM τρίγωνον τμῆμα κύκλου τὸ ΛOM. ἔσται δὴ καὶ ἡ πρὸς τῷ O σημείῳ γωνία ἴση τῇ ὑπὸ τῶν $H\Theta$. ἔτι κείσθω τῇ ὑπὸ τῶν EZK ἴση ἡ ὑπὸ τῶν $\Lambda N\Pi$, καὶ ἐκκείσθω τῇ EZ ἴση ἡ $N\Pi$, καὶ ἐπεζεύχθωσαν αἱ $\Lambda\Pi$, ΠM, καὶ περιγεγράφθω περὶ τὸ $\Lambda\Pi M$ τρίγωνον τμῆμα κύκλου. ἔσται δὴ καὶ ἡ πρὸς τῷ Π σημείῳ ἴση τῇ ὑπὸ AEB γωνίᾳ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ πρὸς τῷ Ξ τῆς πρὸς τῷ O γωνίας· ἡ μὲν γὰρ πρὸς τῷ Ξ ἴση ἐστὶ τῇ πρὸς τῷ Σ γωνίᾳ, ἡ δὲ πρὸς τῷ Σ μείζων ἐστὶ τῆς πρὸς τῷ O γωνίας· τριγώνου γὰρ τοῦ $\Lambda\Sigma O$ ἐκτός ἐστιν· καὶ ἡ πρὸς τῷ Ξ ἄρα μείζων ἐστὶ τῆς πρὸς τῷ O· καί ἐστιν ἡ μὲν πρὸς τῷ Ξ ἴση τῇ ὑπὸ $\Gamma E\Delta$, ἡ δὲ πρὸς τῷ O τῇ ὑπὸ $HE\Theta$, μείζων ἄρα φανήσεται καὶ ἡ $\Gamma\Delta$ τῆς $H\Theta$. πάλιν ἡ μὲν πρὸς τῷ O γωνία τῇ ὑπὸ $HE\Theta$;

---

3. ἀρχόμενον V, corr. m. rec. 4. μείζων] μεῖζον v. 6. $\Xi\Lambda$] $Z\Lambda$ p. τῷ] in ras. V, τό v. 7. ἐστίν Vv. 9. ἐκκείσθω] ἔτι κείσθω e corr. p. ZH] H e corr. v. 11. ΛO] O e corr. v. MO] corr. ex $M\Theta$ v. περιγράφθω V, sed corr. 12. Post τό (pr.) 1 litt. eras. v. 13. ΛOM] O e corr. v.

sectionem. cadat igitur et sit EK, ducaturque diametrus $H\Theta$, et diametro circuli aequalis ponatur ΔM seceturque in N in duas partes aequales, et ab N ad ΔM perpendicularis sublimis erigatur recta $N\Xi$, sitque $N\Xi = EZ$. segmentum igitur circum ΔM descriptum et per Ξ ueniens maius est semicirculo, quoniam $N\Xi$ utraque ΔN, NM maior est. sit $\Delta\Sigma\Xi M$, ducanturque $\Xi\Delta$, ΞM. itaque angulus ad Ξ positus, qui rectis $\Delta\Xi$, ΞM comprehenditur, angulo ad E punctum posito, qui rectis ab E ad Γ, Δ puncta ductis comprehenditur, aequalis est. ponatur

$$\angle \Delta NO = EZH,$$

sumaturque $NO = EZ$, et ducantur ΔO, MO, et circum triangulum ΔOM describatur segmentum circuli ΔOM. erit igitur etiam angulus ad O punctum positus angulo $HE\Theta$ aequalis. praeterea ponatur $\angle \Delta N\Pi = EZK$ et $N\Pi = EZ$, ducanturque $\Delta\Pi$, ΠM, et circum triangulum $\Delta\Pi M$ describatur segmentum circuli. erit igitur etiam angulus ad Π punctum positus angulo ΔEB aequalis. iam quoniam $\angle \Xi > O$ (nam $\angle \Xi = \Sigma$, sed $\angle \Sigma > O$, quia angulus externus est trianguli $\Delta\Sigma O$; itaque etiam $\angle \Xi > O$), uerum $\angle \Xi = \Gamma E\Delta$, $\angle O = HE\Theta$, maior adparebit $\Gamma\Delta$ quam $H\Theta$ [def. 4]. rursus $\angle O = HE\Theta$,

---

τῷ] τό v, et V, corr. m. rec. 18. τῷ] τό v. ΔΕΒ] corr. ex ΔΕΒ m. rec. V. 19. μεῖζον v. τῷ (pr.)] τό v. τῆς] e corr. V. 20. ἐστίν V v. Καὶ γὰρ ἀμφότερραι ἐν τῷ αὐτῷ τμήματί εἰσι mg. m. 2 p. 21. μεῖζον v. 22. ἐστι p. 23. μεῖζον v. ἐστίν V v. τῆς] corr. ex τῆι m. rec. V. τῷ (alt.)] τό v. 24. τῷ (utrumque)] τό v. 25. μεῖζον v. 26. ΗΘ] Η e corr. p. τῷ] τό v.

ἐστιν ἴση, ἡ δὲ πρὸς τῷ Π τῇ ὑπὸ ΑΕΒ· μείζων δὲ ἡ Ο τῆς Π. μείζων ἄρα φανήσεται ἡ ΗΘ τῆς ΑΒ εὐθείας.

Μὴ ἔστω δὴ μείζων ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη τῆς ἐκ τοῦ κέντρου, ἀλλὰ ἐλάσσων· ἔσται δὴ περὶ τὰς διαμέτρους τοὐναντίον· ἡ γὰρ τότε μείζων τῶν διαμέτρων νῦν ἐλάσσων φανήσεται, ἡ δὲ ἐλάσσων μείζων. ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ διήχθωσαν δύο διάμετροι τέμνουσαι ἀλλήλας πρὸς ὀρθὰς αἱ ΑΒ, ΓΔ, ἑτέρα δέ τις διήχθω ἡ ΗΘ, ὄμμα δὲ τὸ Ε, ἀφ' οὗ ἡ ἐπὶ τὸ Ζ κέντρον ἐπιζευχθεῖσα ἔστω ἡ ΕΖ ἐλάσσων οὖσα ἑκατέρας τῶν ἐκ τοῦ κέντρου, πρὸς ὀρθὰς δὲ τῇ ΓΔ ἔστω ἡ ΕΖ, καὶ κείσθω τῇ τοῦ κύκλου διαμέτρῳ ἴση ἡ ΛΜ καὶ τετμήσθω δίχα κατὰ τὸ Ν, καὶ ἀνήχθω ἀπὸ τοῦ Ν πρὸς ὀρθὰς ἡ ΝΞ ἴση τῇ ΕΖ, καὶ περιγεγράφθω περὶ τὴν ΛΜ καὶ τὸ Ξ σημεῖον τμῆμα κύκλου τὸ ΛΞΜ· ἔσται δὴ ἔλασσον ἡμικυκλίου, ἐπειδήπερ ἡ ΝΞ ἐλάσσων ἐστὶ τῆς ἐκ τοῦ κέντρου. ἔσται δὴ ἡ πρὸς τῷ Ξ σημείῳ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΛΞΜ ἴση τῇ πρὸς τῷ Ε, περιεχομένῃ δὲ ὑπὸ τῶν ΓΕΔ. ἔτι κείσθω τῇ ὑπὸ τῶν ΕΖΗ ἴση ἡ ὑπὸ τῶν ΛΝΟ, καὶ ἀφῃρήσθω τῇ ΕΖ ἴση ἡ ΝΟ, καὶ περιγεγράφθω περὶ τὴν ΛΜ καὶ τὸ Ο σημεῖον τὸ ΛΟΜ τμῆμα. ἡ δὴ πρὸς τῷ Ο σημείῳ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΛΟΜ ἴση ἐστὶ τῇ πρὸς τῷ Ε τῇ περιεχομένῃ ὑπὸ τῶν ΘΕΗ. ἔτι κείσθω τῇ ὑπὸ τῶν ΑΖ, ΖΕ ἴση ἡ ὑπὸ τῶν ΛΝ, ΝΠ, καὶ

1. μεῖζον v. 2. μεῖζον v. 3. εὐθείας] γωνίας V, εὐθείας γωνίας pv. 4. μ' Vv, μα' p. 7. μεῖζον v. 11. ἐπιζευχθῆσα v. 18. ἐστίν Vv. 19. τῷ] τό v. 22. ἡ] om. v. 24. τμῆμα] τμῆμα κύκλου p. 25. ἡ] supra scr. m. rec. V. ἐστίν Vv.

$\angle \Pi = AEB$, et $\angle O > \Pi$. ergo etiam $H\Theta$ maior adparebit recta AB [def. 4].

Iam recta ab oculo ad centrum ducta radio maior ne sit, sed minor. tum de diametris contrarium eueniet; nam quae diametrus antea maior erat, nunc minor adparebit, minor autem maior. sit circulus $AB\Gamma\Delta$, ducanturque duae diametri AB, $\Gamma\Delta$ inter se ad angulos rectos secantes, alia autem quaeuis sit $H\Theta$, oculus-



que sit E, a quo quae ad Z centrum ducitur, sit EZ utroque radio minor, perpendicularis autem sit EZ ad $\Gamma\Delta$, et ponatur ΔM diametro circuli aequalis seceturque in duas partes aequales in N, et ab N perpendicularis erigatur $N\Xi$ rectae EZ aequalis, circumque ΔM et punctum Ξ segmentum circuli describatur $\Delta\Xi M$; erit igitur semicirculo minus, quoniam $N\Xi$ radio minor est. itaque angulus ad Ξ punctum positus, qui rectis $\Delta\Xi$, ΞM comprehenditur, angulo ad E posito, qui rectis ΓE, $E\Delta$ comprehenditur, aequalis erit. ponatur praeterea $\angle \Delta NO = EZH$,

ἀφῃρήσθω ἡ ΝΠ ἴση τῇ ΕΖ, καὶ περιγεγράφθω περὶ τὴν ΛΜ καὶ τὸ Π τμῆμα κύκλου τὸ ΛΠΜ· ἔσται δὴ ἡ πρὸς τῷ Π γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΛΠΜ ἴση τῇ πρὸς τῷ Ε γωνίᾳ, περιεχομένῃ δὲ ὑπὸ τῶν ΛΕΒ. ἐπεὶ οὖν ἐλάσσων ἡ πρὸς τῷ Ξ τῆς πρὸς τῷ Ο, ἴση δὲ ἡ μὲν πρὸς τῷ Ο τῇ πρὸς τῷ Ε, περιεχομένῃ δὲ ὑπὸ τῶν ΘΕ, ΕΗ, ἡ δὲ πρὸς τῷ Ξ τῇ πρὸς τῷ Ε, περιεχομένῃ δὲ ὑπὸ τῶν ΓΕΔ, ἐλάσσων ἄρα φανήσεται ἡ ΓΔ τῆς ΗΘ. πάλιν ἐπεὶ ἐλάσσων ἡ πρὸς τῷ Ε περιεχομένη δὲ ὑπὸ τῶν ΘΕΗ τῆς πρὸς τῷ Ε, περιεχομένης δὲ ὑπὸ τῶν ΛΕΒ, ἐλάσσων ἄρα φανήσεται καὶ ἡ ΗΘ τῆς ΛΒ.

λζ'.

Τῶν ἁρμάτων οἱ τροχοὶ ὁτὲ μὲν κυκλοειδεῖς, ὁτὲ δὲ παρεσπασμένοι φανοῦνται.

ἔστω γὰρ τροχός, οὗ διάμετροι αἱ ΔΖ, ΒΓ. οὐκοῦν ὅταν μὲν ἡ ἀπὸ τοῦ ὄμματος εἰς τὸ κέντρον νεύουσα πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ ἢ ἴση τῇ ἐκ τοῦ κέντρου, ἴσαι αἱ διάμετροι φανοῦνται, ὡς ἐν τῷ πρὸ αὐτοῦ θεωρήματι ἐπεδείχθη· ὥστε ὁ τροχὸς ὁ τοῦ ἅρματος κυκλοειδὴς φαίνεται τούτων ὑπαρχόντων. παραφερομένου δὲ τοῦ ἅρματος καὶ τῆς ἀπὸ τοῦ ὄμματος νευούσης εἰς τὸ κέντρον ἀκτῖνος μήτε πρὸς ὀρθὰς οὔσης τῷ τοῦ τροχοῦ ἐπιπέδῳ μήτε ἴσης τῇ ἐκ τοῦ κέντρου αὐτοῦ ἄνισοι αἱ διάμετροι φανοῦνται ὁμοίως διὰ τὸ πρὸ αὐτοῦ δειχθέν· ὥστε παρεσπασμένος ἂν φαίνοιτο ὁ τροχός.

---

3. ἡ (pr.)] supra scr. m. 2 V. ἡ (alt.)] addidi; om. Vpv. 8. φανήσεται] -νήσεται in ras. m. 1 V. 11. ΛΕΒ] ΛΕΒ pv (Λ deformatum est in V). 13. λζ'] μα' Vv, μβ' p. 15. παρεσπαμένοι V. 16. διάμε-] in ras. m. 1 V. 18. ᾖ] corr. ex εἰ m. 1 v. τῇ] corr. ex τοῦ V.

et sumatur $NO = EZ$, circumque ΔM et O punctum describatur segmentum ΔOM. itaque $\angle \Delta OM = \Theta EH$. praeterea ponatur $\angle \Delta N\Pi = \Delta ZE$, et sumatur $N\Pi = EZ$, circumque ΔM et Π describatur segmentum circuli $\Delta \Pi M$. erit igitur $\angle \Delta \Pi M = \Delta EB$. iam quoniam $\angle \Xi < O$ et $\angle O = \Theta EH$, $\angle \Xi = \Gamma E\Delta$, minor adparebit $\Gamma\Delta$ quam $H\Theta$. rursus quoniam $\angle \Theta EH < \Delta EB$, minor adparebit $H\Theta$ quam ΔB.

37.

Rotae curruum modo circulares modo oblongae adparebunt.

sit enim rota, cuius diametri sint ΔZ, $B\Gamma$. itaque ubi recta ab oculo ad centrum ducta ad planum perpendicularis est uel radio aequalis, diametri aequales adparebunt, ut in propositione praecedenti[1]) demonstratum est. quare cum haec ita sunt, rota currus circularis uidetur. sed curru praeteruecto ubi radius ab oculo ad centrum cadens neque iam ad planum rotae perpendicularis est neque radio eius aequalis, diametri inaequales adparebunt rursus propter propositionem ante demonstratam [prop. 36]. ergo rota oblonga adparebit.



1) H. e. per propp. 34—35. itaque fortasse propp. 34, 35, 36 in unam coniungendae erant.

λη'.

Ἐὰν μέγεθός τι πρὸς ὀρθὰς ᾖ τῷ ὑποκειμένῳ ἐπιπέδῳ μετέωρον, τεθῇ δὲ τὸ ὄμμα ἐπί τι σημεῖον τοῦ ἐπιπέδου, καὶ μεθιστῆται τὸ ὁρώμενον ἐπὶ κύκλου περι-
5 φερείας, ἴσον ἀεὶ τὸ ὁρώμενον ὀφθήσεται.

ἔστω ὁρώμενόν τι μέγεθος τὸ *ΑΒ* μετεωρότερον τοῦ ἐπιπέδου, ὄμμα δὲ ἔστω τὸ *Γ*, καὶ ἐπεζεύχθω ἡ *ΓΒ*, καὶ κέντρῳ τῷ *Γ*, διαστήματι δὲ τῷ *ΓΒ* κύκλος γεγράφθω ὁ *ΒΔ*. λέγω, ὅτι, ἐὰν ἐπὶ τῆς τοῦ κύκλου
10 περιφερείας μεθιστῆται τὸ *ΑΒ*, ἀπὸ τοῦ *Γ* ὄμματος ἴσον ἀεὶ ὀφθήσεται. ἐπεὶ γὰρ ἡ *ΑΒ* ἐστιν ὀρθὴ καὶ ποιεῖ πρὸς τὴν *ΒΓ* ὀρθὴν γωνίαν, πᾶσαι ἄρα αἱ ἀπὸ τοῦ κέντρου τοῦ *Γ* πρὸς τὸ *ΑΒ* μέγεθος προσπίπτουσαι ἀλλήλαις ἴσας γωνίας ποιοῦσιν. ἴσον ἄρα τὸ ὁρώμενον
15 ὀφθήσεται. ὁμοίως δὲ κἂν ἀπὸ τοῦ *Γ* κέντρου μετέωρος ἀχθῇ εὐθεῖα, καὶ ἐπ' αὐτῆς τὸ ὄμμα τεθῇ ἐπὶ παραλλήλου ὂν τῷ ὁρωμένῳ μεγέθει, καὶ μετακινῆται τὸ μέγεθος, ἴσον ἀεὶ τὸ ὁρώμενον φαίνεται.

λθ'.

20 Ἐὰν δὲ τὸ ὁρώμενον πρὸς ὀρθὰς ᾖ τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μεθιστῆται δὲ τὸ ὄμμα ἐπὶ κύκλου περιφερείας, ἴσον ἀεὶ τὸ ὁρώμενον φανήσεται.

ἔστω ὁρώμενον μὲν τὸ *ΑΒ* μετέωρον ὂν καὶ πρὸς

---

1. λη'] μβ' Vv, μγ' p. 3. τό] τῷ v. τοῦ — 4. περι-] dimid. eras. V. 4. Post περιφερείας add. κέντρον ἔχοντος τὸ ὄμμα p. 6. μετεωρότερον V, μετέωρον p; μετεωρότερον v, sed corr. 8. κέντρῳ] comp. Vv. 10. περιφερείας] comp. Vv. 12. τήν] om. v. 13. κέντρου] in ras. m. rec. V. 16. Ante ἀχθῇ ras. 2 litt. V. ἐπί] supra scr. m. 1 p. 17. μεγέθη v, sed corr. μετακεινῆται V, sed corr.; μετακινεῖται v, et p, sed corr. 19. λθ'] μγ' Vv, μδ' p. 21. ἐπιπέδῳ] om. v.

38.

Si magnitudo ad planum subiacens perpendicularis sublimis erecta est, et oculus in aliquo puncto plani ponitur, magnitudo autem, quae cernitur, secundum ambitum circuli mouetur, magnitudo, quae cernitur, semper aequalis cernetur.

cernatur magnitudo aliqua *AB* plano sublimior, oculus autem sit *Γ*, ducaturque *ΓB*, et centro *Γ*, radio autem *ΓB* circulus describatur *BΔ*. dico, si *AB* per ambitum circuli moueatur, semper eam aequalem a *Γ* oculo cerni. nam quoniam *AB* perpendicularis est et ad *BΓ* angulum rectum efficit, omnes rectae, quae a *Γ* centro ad magnitudinem *AB* adcidunt, angulos inter se aequales efficiunt. ergo quod cernitur, aequale cernetur. similiter etiam si a *Γ* centro recta sublimis erigitur, et in ea oculus ponitur ad magnitudinem, quae cernitur, positione parallela collocatus, et magnitudo mouetur, quod uidetur, semper aequale adparet.



39.

Sin quod cernitur, ad planum subiacens perpendiculare est, oculusque per ambitum circuli mouetur, quod cernitur, semper aequale adparebit.

cernatur *AB* sublime positum et ad planum sub-

21. Post περιφερείας add. κέντρον ἔχοντος τὸ σημεῖον, καθ' ὃ συμβάλλει τὸ μέγεθος τῷ ἐπιπέδῳ p.

ὀρθὰς πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, ὄμμα δὲ ἔστω τὸ Γ, καὶ κέντρῳ μὲν τῷ Β, διαστήματι δὲ τῷ ΒΓ κύκλος γεγράφθω ὁ ΓΔ. λέγω, ὅτι, ἐὰν τὸ Γ μεθιστῆται ἐπὶ κύκλου περιφερείας, ἴσον ἀεὶ τὸ ΑΒ φανήσεται. τοῦτο δὲ φανερόν ἐστιν· πᾶσαι γὰρ αἱ ἀπὸ τοῦ Γ σημείου πρὸς τὸ ΑΒ προσπίπτουσαι ἀκτῖνες πρὸς ἴσας γωνίας προσπίπτουσιν, ἐπειδήπερ ἡ πρὸς τῷ Β ὀρθή ἐστιν. ἴσον ἄρα τὸ ὁρώμενον φανήσεται.

μ'.

Ἐὰν δὲ τὸ ὁρώμενον μέγεθος μὴ πρὸς ὀρθὰς ᾖ τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μεθιστῆται δὲ ἐπὶ κύκλου περιφερείας, ἄνισον ἀεὶ ὀφθήσεται.

ἔστω κύκλος ὁ ΑΘ, καὶ εἰλήφθω ἐπὶ τῆς περιφερείας αὐτοῦ σημεῖον τὸ Δ, καὶ ἀνεστάτω μὴ πρὸς ὀρθὰς τῷ κύκλῳ εὐθεῖα ἡ ΔΖ, ὄμμα δὲ ἔστω τὸ Ε. λέγω, ὅτι ἡ ΔΖ, ἐὰν ἐπὶ τῆς τοῦ κύκλου περιφερείας μεθιστῆται, ποτὲ μείζων φανήσεται, ποτὲ ἐλάσσων.

ἤτοι δὴ ἡ ΔΖ μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου ἢ ἴση ἢ ἐλάσσων. ἔστω πρότερον μείζων, καὶ ἤχθω διὰ τοῦ Ε κέντρου τῇ ΔΖ παράλληλος ἡ ΕΓ, καὶ ἔστω ἴση τῇ ΔΖ ἡ ΕΓ, καὶ ἤχθω ἀπὸ τοῦ Γ σημείου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἡ ΓΗ καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Η σημεῖον, καὶ ἐπιζευχθεῖσα ἡ ΕΗ ἐκβεβλήσθω καὶ συμβαλλέτω τῇ περιφερείᾳ κατὰ τὸ Α, καὶ ἤχθω διὰ τοῦ Α τῇ

---

5. τούτω v. ἐστι p. 6. τό] corr. ex τῷ m. rec. V. 9. μ'] με' p, μδ' Vv. 11. δέ] δὲ τὸ (τω v) ὁρώμενον vp. 12. Post ὀφθήσεται add. κατὰ παράλληλον θέσιν τῇ ἐξ ἀρχῆς μεταβαῖνον mg. m. 2 v. 14. σημείου v. 17. Post ποτέ (pr.) del. μέν p. μεῖζον v. 18. ἤτοι δή] ἢ δέ e corr. v, ἤτοι



iacens perpendiculare, oculus autem sit Γ, et centro B, radio autem $B\Gamma$ circulus describatur $\Gamma\Delta$. dico, si Γ per ambitum circuli moueatur, AB semper aequale adparere. et hoc manifestum est; omnes enim radii a Γ puncto ad AB adcidentes angulos aequales efficiunt, quoniam $\angle B$ rectus est. ergo quod cernitur, aequale adparebit.

40.

Sin magnitudo, quae cernitur, ad planum subiacens perpendicularis non est, per circuli autem ambitum mouetur, semper inaequalis cernetur.

sit circulus $A\Theta$, et in ambitu eius sumatur punctum Δ, et ad circulum non perpendicularis erigatur recta ΔZ, oculus autem sit E. dico, ΔZ, si per ambitum circuli moueatur, modo maiorem modo minorem adparere.

aut igitur ΔZ radio maior est aut aequalis aut minor. primum sit maior, et per E centrum rectae ΔZ parallela ducatur $E\Gamma$, et sit $E\Gamma = \Delta Z$, ducaturque a puncto Γ ad planum subiacens perpendicularis ΓH, quae cum plano in H concurrat, et ducta EH producatur concurratque cum ambitu in A, per A

δέ Vp. ἡ] del. punctis v. μεῖζον v, sed corr. ἐστῖ Vp. ἥ] add. m. 2 V. 19. μεῖζον v, sed corr. 20. ΔZ] m. 2 v. 21. τῇ] m. 2 v. 22. ἐπιπέδου V, corr. m. 1. 23. ἐπιζευχθῆσα v, sed corr.

ΕΓ παράλληλος ἡ ΑΒ, καὶ ἔστω ἡ ΑΒ τῇ ΔΖ ἴση. λέγω, ὅτι ἡ ΑΒ πασῶν τῶν ἐπὶ τῆς τοῦ κύκλου περιφερείας μεθισταμένων εὐθειῶν ἐλάσσων φανήσεται. ἐπεζεύχθωσαν γὰρ αἱ ΓΖ, ΕΖ, ΒΓ, ΕΒ. ἔχομεν δὲ ἐν τῷ παρακειμένῳ τῷ λς' θεωρήματι, ὅτι πασῶν τῶν διὰ τοῦ Ε σημείου ἀγομένων εὐθειῶν καὶ ποιουσῶν πρὸς τῇ ΕΓ γωνίαν ἐλαχίστη ἐστὶν ἡ ὑπὸ ΓΕΑ. ἐπεὶ οὖν ἡ ΓΕ τῇ ΑΒ παράλληλός ἐστιν, ἀλλὰ καὶ ἴση, καὶ ἡ ΕΑ ἄρα τῇ ΓΒ ἴση τε καὶ παράλληλός ἐστιν· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΒΕ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΖΕ παραλληλόγραμμόν ἐστιν. καὶ ἐπεὶ δεῖ δεῖξαι, ὅτι ἔλασσον φαίνεται τὸ ΑΒ τοῦ ΔΖ, δῆλον, ὅτι πρότερον δεῖ δεῖξαι, ὅτι ἡ ὑπὸ ΒΕΑ γωνία ἐλάσσων ἐστὶ τῆς ὑπὸ ΖΕΔ γωνίας. ἐπεὶ οὖν δέδεικται, ὅτι πασῶν τῶν διὰ τοῦ Ε σημείου διαγομένων εὐθειῶν καὶ ποιουσῶν πρὸς τῇ ΓΕ γωνίας ἐλαχίστη ἐστὶν ἡ ὑπὸ ΓΕΑ, ἐλάσσων ἄρα ἐστὶ καὶ τῆς ὑπὸ ΓΕΔ ἡ ὑπὸ ΓΕΑ. ἐκκείσθω τῷ τοῦ κύκλου ἡμικυκλίῳ ἴσον τὸ ΚΑΛ, καὶ εἰλήφθω αὐτοῦ τὸ κέντρον τὸ Ν, καὶ κείσθω τῇ ὑπὸ ΓΕΑ ἴση γωνία ἡ ὑπὸ ΚΝΜ, τῇ δὲ ὑπὸ ΓΕΔ ἴση ἡ ὑπὸ ΚΝΟ, καὶ κείσθω τῇ ΔΖ ἑκατέρα τῶν ΟΝ, ΜΝ ἴση, καὶ διὰ μὲν τοῦ Μ τῇ ΚΝ ἴση καὶ παράλληλος ἤχθω ἡ ΜΠ, καὶ ἐπεζεύχθω ἡ ΠΚ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΝΠ καὶ ἴσον

---

3. -ς με-] in ras. V. 4. δέ] δή v. 7. πρός] supra scr. p. γωνίας p. 8. ἀλλά — 9. ἐστιν] om. v. 9. ἐστι p. 10. ἐστίν Vv. 11. ἐστι p. δεῖ] in ras. V, corr. ex δή m. 2 v. 12. ὅτι] om. v, ὡς comp. m. 2. ἐλάσσων V, corr. m. rec. 13. δεῖ] corr. ex δή m. 2 v. ἔλασσον v. 14. ἐστίν Vv. 17. ἔλασσον v. ἐστίν Vv. 18. τῷ] corr. ex τό m. 2 v. 19. τό (pr.)] corr. ex τῷ m. 2 v. τό (tert.)] τῷ v. 22. μέν] del. m. 2 v. 24. ἐστίν Vv.

autem rectae $E\Gamma$ parallela ducatur AB, sitque $AB = \Delta Z$. dico, AB omnibus rectis, quae per ambitum circuli moueantur, minorem adparere. ducantur enim ΓZ, EZ, $B\Gamma$, EB. cognouimus autem in propositione theoremati XXXVImo adnexa [p. 204, 11 sq.], omnium rectarum per E ductarum et cum $E\Gamma$ angulum efficientium minimum angulum efficere AE, sc. $\angle\ \Gamma EA$. iam quoniam ΓE rectae AB parallela



est, uerum etiam aequalis, etiam EA rectae ΓB et aequalis est et parallela; BE igitur parallelogrammum est. eadem de causa igitur etiam ZE parallelogrammum est. et quoniam demonstrandum est, AB minus adparere quam ΔZ, manifestum est prius demonstrandum, esse $\angle\ BEA < ZE\Delta$. iam quoniam demonstrauimus, omnium rectarum, quae per E punctum ducantur et cum ΓE angulos efficiant, minimum angulum efficere EA, sc. $\angle\ \Gamma EA$, est $\angle\ \Gamma EA < \Gamma E\Delta$. ponatur $KA\Delta$ semicirculo circuli aequale, et sumatur centrum eius N, ponaturque $\angle\ KNM = \Gamma EA$, $KNO = \Gamma E\Delta$, et ponatur $ON = MN = \Delta Z$, per M autem rectae KN aequalis et parallela ducatur $M\Pi$, et ducatur ΠK; $N\Pi$ igitur parallelogrammum est et parallelogrammo

καὶ ὅμοιον τῷ ΒΕ. πάλιν διὰ τοῦ Ο τῇ ΚΝ ἴση καὶ παράλληλος ἤχθω ἡ ΟΡ, καὶ ἐπεζεύχθω ἡ ΡΚ· τὸ ΡΝ ἄρα παραλληλόγραμμον ἴσον τε καὶ ὅμοιόν ἐστι τῷ ΖΕ. καὶ ἐπεζεύχθωσαν αἱ διαγώνιοι αἱ ΡΝ, ΠΝ. ὥστε καὶ ἡ ὑπὸ ΚΝΠ γωνία τῆς ὑπὸ ΚΝΡ γωνίας ἐλάσσων ἐστίν. καί ἐστιν



ἡ μὲν ὑπὸ ΚΝΠ ἴση τῇ ὑπὸ ΑΕΒ, ἡ δὲ ὑπὸ ΚΝΡ ἴση τῇ ὑπὸ ΔΕΖ· ἐλάσσων ἄρα ἡ ὑπὸ ΑΕΒ τῆς ὑπὸ ΔΕΖ. ὥστε καὶ τὸ ΑΒ μέγεθος τοῦ ΔΖ μεγέθους ἔλασσον ὀφθήσεται.

ὁμοίως δὴ δείξομεν, ὅτι ἡ ΒΑ τῆς ΖΔ ἐλάσσων ἐστὶ τῆς ΖΔ ἴσης τε καὶ ἐλάσσονος τῆς ἐκ τοῦ κέντρου ὑπαρχούσης.

ἀλλὰ δὴ ἔστω ἡ ΔΖ τῇ ἐκ τοῦ κέντρου ἴση, καὶ κατεσκευάσθω πάντα τὰ αὐτὰ τοῖς πρότερον, καὶ κείσθω τῷ τοῦ κύκλου ἡμικυκλίῳ ἴσον ἡμικύκλιον τὸ ΘΚΛ, καὶ εἰλήφθω αὐτοῦ τὸ κέντρον τὸ Ν. καὶ ἐπεὶ ἡ ΔΖ ἴση ὑπόκειται τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου, ἴση ἄρα ἐστὶν ἡ ΔΖ τῇ ΘΝ. καὶ κείσθω τῇ μὲν ὑπὸ ΓΕΑ γωνίᾳ ἴση ἡ ὑπὸ ΘΝΚ, καὶ ἤχθω τῇ ΘΝ παράλληλος

5. ἐστιν Vv. 7. διαγώνιαι p. 11. ΚΝΡ] corr. ex ΚΝ m. 2 v. 13. ἐστίν] ἐστί p. 14. ἡ δέ — 15. ΑΕΒ] mg. m. 2 v (κείμενον). 15. ἴση] om. v. ἐλάσσων ἄρα] ὥστε καί v. ΑΕΒ] ΑΕΒ ἐλάσσων ἐστί v. 17. ἐλάσσων V, sed,

BE aequale et simile. rursus per O rectae KN aequalis et parallela ducatur OP, ducaturque PK; PN igitur parallelogrammum est parallelogrammo ZE aequale et simile. et ducantur diagonales PN, ΠN. itaque $\angle KN\Pi < KNP$. est autem $\angle KN\Pi = AEB$, $KNP = \Delta EZ$. quare $\angle AEB < \Delta EZ$. ergo etiam magnitudo AB cernetur minor magnitudine ΔZ [def. 4].

iam similiter demonstrabimus, esse $BA < Z\Delta$, ubi $Z\Delta$ radio uel aequalis est uel etiam minor.





iam uero ΔZ radio aequalis sit, eademque omnia comparentur, quae antea, et ponatur semicirculus $\Theta K\Lambda$ semicirculo circuli aequalis, centrumque eius sumatur N. et quoniam supposuimus, ΔZ radio circuli aequalem esse, erit

$$\Delta Z = \Theta N.$$

ponatur igitur

$$\angle \Theta NK = \Gamma EA,$$

ducaturque $K\Xi$ rectae ΘN parallela, sumaturque $K\Xi = \Theta N$, et ducatur $\Xi\Theta$, ponatur autem

corr. 18. ἔλασσον v, sed corr. 19. ἐστίν Vv, mg. ὀφθήσεται m. 2 v. 21. με′ Vv. 23. τό] τῷ v. 25. τῆ] corr. ex τῆς V. 26. ὑπό] ὑπὸ τό Vvp. ΓΕΑ] e corr. V. 27. ση] ι- in ras. V.

ἡ ΚΞ, καὶ τῇ ΘΝ ἀφῃρήσθω ἴση ἡ ΚΞ, καὶ ἐπεζεύχθω ἡ ΞΘ, τῇ δὲ ὑπὸ τῶν ΓΕΔ ἴση κείσθω ἡ ὑπὸ τῶν ΘΝΔ, καὶ τῇ ΘΝ παράλληλος ἤχθω ἡ ΔΟ, καὶ ἴση τῇ ΘΝ ἀφῃρήσθω ἡ ΔΟ, καὶ ἐπεζεύχθω ἡ ΟΘ· παρ-
5 αλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ΘΔ, ΘΚ, καί ἐστιν ἴσα τε καὶ ὅμοια τοῖς ΕΖ, ΕΒ. ὥστε καὶ ἡ μὲν ὑπὸ ΘΝΔ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΓΕΔ, ἡ δὲ ὑπὸ ΘΝΚ ἴση ἐστὶ τῇ ὑπὸ ΓΕΑ. ἐλάσσων δὲ ἡ ὑπὸ ΓΕΑ τῆς ὑπὸ ΓΕΔ· ἐλάσσων ἄρα καὶ ἡ ὑπὸ ΘΝΚ τῆς
10 ὑπὸ ΘΝΔ. [καὶ] ἐπεζεύχθωσαν αἱ διαγώνιοι αἱ ΞΝ, ΟΝ· ἐλάσσων ἄρα καὶ ἡ ὑπὸ ΘΝΞ τῆς ὑπὸ ΘΝΟ. ἴση δὲ ἡ μὲν ὑπὸ ΘΝΞ τῇ ὑπὸ ΑΕΒ, ἡ δὲ ὑπὸ ΘΝΟ τῇ ὑπὸ ΔΕΖ· ἐλάσσων ἄρα καὶ ἡ ὑπὸ ΑΕΒ τῆς ὑπὸ ΔΕΖ. ἔλασσον ἄρα ὀφθήσεται τὸ ΑΒ μέγεθος
15 τοῦ ΔΖ μεγέθους· ὅπερ ἔδει δεῖξαι.

ἀλλὰ δὴ ἔστω ἡ ΔΖ ἐλάσσων τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, καὶ κατεσκευάσθω τὰ αὐτὰ τοῖς πρότερον, καὶ κείσθω τῷ τοῦ κύκλου ἡμικυκλίῳ ἴσον τὸ ΘΜ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Ν, καὶ ἀφῃρή-
20 σθω ἀπὸ τῆς ΘΝ τῇ ΔΖ ἴση ἡ ΝΞ, καὶ κείσθω τῇ μὲν ὑπὸ ΓΕΑ γωνίᾳ ἴση ἡ ὑπὸ ΘΝΚ, τῇ δὲ ὑπὸ ΓΕΔ ἴση ἡ ὑπὸ ΘΝΛ, καὶ ἔστω ἴση ἑκατέρα τῶν ΝΚ, ΝΛ τῇ ΔΖ, καὶ ἤχθω διὰ μὲν τοῦ Κ τῇ ΝΞ ἴση καὶ παράλληλος ἡ ΚΟ, καὶ ἐπεζεύχθω ἡ ΟΞ, διὰ
25 δὲ τοῦ Λ τῇ ΞΝ παράλληλος ἡ ΛΠ, καὶ ἐπεζεύχθω ἡ ΠΞ· παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ΚΞ, ΞΛ, καί ἐστι τὸ μὲν ΚΞ τῷ ΕΒ ἴσον τε καὶ

---

3. ΘΝΔ] mut. in ΘΝΛ m. rec. V, ΘΝ p et add. Δ m. 2 v. ΘΝ] corr. ex Θ m. rec. V. ΔΟ] ΛΟ V. 4. ΔΟ] ΛΟ V. 5. ΘΔ] ΔΘ p, ΘΛ V. 6. τοῖς] τῇ p. ἡ μέν] om. v. 7. ΘΝΔ] ΘΝΛ V. ἐστίν Vv. 8. ἐστίν Vv. 10. ΘΝΔ] ΘΝΛ V. καί] om. Vv. 14. ἐλάσσων p.

$\angle \Theta N \Delta = \Gamma E \Delta$, ducaturque ΔO rectae ΘN parallela, sumaturque $\Delta O = \Theta N$, et ducatur $O\Theta$; itaque utrumque $\Theta\Delta$, ΘK parallelogrammum est et parallelogrammis EZ, EB aequalia et similia. quare etiam $\angle \Theta N \Delta = \Gamma E \Delta$, $\Theta N K = \Gamma E A$. uerum $\angle \Gamma E A < \Gamma E \Delta$. itaque etiam $\angle \Theta N K < \Theta N \Delta$. ducantur diagonales ΞN, ON. itaque etiam $\angle \Theta N \Xi < \Theta N O$. uerum $\angle \Theta N \Xi = AEB$, $\Theta N O = \Delta E Z$. itaque etiam $\angle AEB < \Delta E Z$. ergo magnitudo AB minor magnitudine ΔZ cernetur; quod erat demonstrandum.

iam uero ΔZ radio circuli minor sit, eademque comparentur, quae antea, et semicirculo circuli aequale ponatur ΘM, sumaturque centrum circuli N, et a ΘN auferatur $N\Xi$ rectae ΔZ aequalis, ponaturque





$\angle \Theta N K = \Gamma E A$, $\angle \Theta N \Lambda = \Gamma E \Delta$, et sit $NK = N\Lambda = \Delta Z$, ducaturque per K rectae $N\Xi$ aequalis et parallela KO, et ducatur $O\Xi$, per Λ autem rectae ΞN parallela $\Lambda\Pi$, et ducatur $\Pi\Xi$; utrumque $K\Xi$, $\Xi\Lambda$ igitur parallelo-

16. μς′ Vv, μζ′ p. τῆς] corr. ex τῆι m. 2 V. 18. τό] τῷ v. 25. τῇ] corr. ex τῆς V, τῆς pv. 26. Post ἡ ras. 1 litt. v. 27. ἐστιν Vv.

ὅμοιον, τὸ δὲ ΞΔ τῷ ΕΖ· ὥστε καὶ γωνία ἡ ὑπὸ ΘΝΚ ἴση τῇ ὑπὸ ΓΕΑ, ἡ δὲ ὑπὸ ΘΝΔ τῇ ὑπὸ ΓΕΔ. μείζων δὲ ἡ ὑπὸ ΓΕΔ τῆς ὑπὸ ΓΕΑ· μείζων ἄρα καὶ ἡ ὑπὸ ΘΝΔ τῆς ὑπὸ ΘΝΚ. ἐπεζεύχθωσαν αἱ ΝΟ, ΝΠ· καὶ ἡ ὑπὸ ΞΝΟ ἄρα τῆς ὑπὸ ΞΝΠ ἐλάσσων ἐστίν. ἴση δὲ ἡ μὲν ὑπὸ ΞΝΟ τῇ ὑπὸ ΑΕΒ, ἡ δὲ ὑπὸ ΞΝΠ τῇ ὑπὸ ΔΕΖ· ἐλάσσων ἄρα καὶ ἡ ὑπὸ ΑΕΒ τῆς ὑπὸ ΔΕΖ. καὶ βλέπεται ὑπὸ μὲν τῆς ΑΕΒ τὸ ΑΒ μέγεθος, ὑπὸ δὲ τῆς ὑπὸ ΔΕΖ τὸ ΔΖ. ἔλασσον ἄρα ὀφθήσεται τὸ ΑΒ μέγεθος τοῦ ΔΖ μεγέθους· ὅπερ ἔδει δεῖξαι.

μα'.

Ἔστι τις τόπος, οὗ τοῦ ὄμματος μένοντος, τοῦ δὲ ὁρωμένου μεθισταμένου, ἴσον ἀεὶ τὸ ὁρώμενον φαίνεται. ἔστω γὰρ ὁρώμενον μὲν τὸ ΒΓ, ὄμμα δὲ τὸ Ζ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΖΓ, ΖΒ, καὶ περιειλήφθω τὸ ΖΒΓ τρίγωνον κύκλῳ τῷ ΔΒΖ. λέγω, ὅτι τὸ ΒΓ μεθιστάμενον ἐπὶ τῆς τοῦ γραφέντος κύκλου περιφερείας ἴσον ἀεὶ ὁραθήσεται. μετακείσθω γὰρ τὸ ΒΓ ἐπὶ τοῦ ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΔΖ. οὐκοῦν ἴση ἐστὶν ἡ ΒΓ περιφέρεια τῇ ΓΔ περιφερείᾳ. ἴση ἄρα καὶ ἡ Ρ γωνία τῇ Σ γωνίᾳ. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. ἴσον ἄρα φαίνεται τὸ ΒΓ τῷ ΓΔ.

---

2. ὑπό (sec.)] ὑ- in ras. m. 1 V. 3. μείζων (utrumque)] μεῖζον v. ΓΕΑ] τὴν ΓΑ v (inter Γ et Α ras. 1 litt.). 9. ὑπὸ ΔΕΖ] ΔΕΖ p. 12. μα'] μη' p; μζ' V et v m. 1; με' v m. 2. 13. μένωντος v, sed corr. 15. Post Ζ eras. Δ V. 17. ΖΒΓ] ΒΖΓ p. 18. ἐπί] ἐ- in extr. lin. v. 21. τῇ] τῆς V. περιφερείᾳ] -σ add. m. rec. V. 22. Post ἡ eras. η V. τῇ] τῆς p. γωνίᾳ] γωνίας p. ἴσον ἄρα φαίνεται τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται v, corr. m. 2 litteris αβγ adpositis. ὑπό] ὑπὸ τῶν p. 23. τό] τῷ v. ΓΔ] Γ supra scr. m. 1 V.

grammum est, et $K\Xi$ parallelogrammo EB et aequale est et simile, $\Xi\Delta$ autem parallelogrammo EZ; quare etiam $\angle\ \Theta NK = \Gamma E\Delta$, $\angle\ \Theta N\Delta = \Gamma E\Delta$. uerum $\angle\ \Gamma E\Delta > \Gamma E\Delta$. itaque etiam $\angle\ \Theta N\Delta > \Theta NK$. ducantur NO, $N\Pi$. itaque etiam $\angle\ \Xi NO < \Xi N\Pi$. uerum $\angle\ \Xi NO = AEB$, $\angle\ \Xi N\Pi = \Delta EZ$; quare etiam $\angle\ AEB < \Delta EZ$. et ab angulo AEB magnitudo AB cernitur, a ΔEZ autem ΔZ. ergo magnitudo AB minor adparet magnitudine ΔZ; quod erat demonstrandum.

41.

Locus est, unde oculo manente, mota autem magnitudine, quae cernitur, haec semper aequalis adparet.[1])



cernatur enim $B\Gamma$, oculus autem sit Z, a quo radii adcidant $Z\Gamma$, ZB, triangulusque $ZB\Gamma$ circulo ΔBZ comprehendatur. dico, si $B\Gamma$ per ambitum circuli descripti moueatur, semper eam aequalem cerni. transponatur enim $B\Gamma$ ad $\Gamma\Delta$, et ducatur ΔZ. itaque arcus $B\Gamma$ arcui $\Gamma\Delta$ aequalis est. quare etiam $\angle\ P = \Sigma$. quae autem ab angulis aequalibus cernuntur, aequalia adparent [def. 4]. ergo $B\Gamma$ magnitudini $\Gamma\Delta$ aequalis adparet.

1) In figura litteras P, Σ permutauit v, pro Σ in Vp est O.

μβ'.

Ἔστι τις τόπος, οὗ τοῦ ὄμματος μεθισταμένου, τοῦ δὲ ὁρωμένου μένοντος, ἀεὶ ἴσον τὸ ὁρώμενον φαίνεται.



ἔστω γὰρ ὁρώμενον μὲν τὸ ΒΓ, ὄμμα δὲ τὸ Ζ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΖΒ, ΖΓ, καὶ περιειλήφθω τὸ ΒΖΓ τρίγωνον τμήματι κύκλου τῷ ΒΖΓ, καὶ μετακείσθω τὸ Ζ ὄμμα ἐπὶ τοῦ Δ, καὶ μεταπιπτέτωσαν αἱ ἀκτῖνες αἱ ΔΒ, ΔΓ. οὐκοῦν ἴση ἡ Ρ γωνία τῇ Σ· ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσι. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. ἴσον ἄρα τὸ ΒΓ διὰ παντὸς φαίνεται τοῦ ὄμματος μεθισταμένου ἐπὶ τῆς ΒΓΔ περιφερείας.

μγ'.

Ἔστι τις τόπος, οὗ τοῦ ὄμματος μεθισταμένου, τοῦ δὲ ὁρωμένου μένοντος, ἄνισον τὸ ὁρώμενον φανεῖται.

ἔστω γὰρ ὁρώμενον τὸ ΚΔ, εὐθεῖα δὲ ἡ ΒΓ συμπίπτουσα τῇ ΚΔ προσεκβαλλομένῃ, καὶ εἰλήφθω τῆς ΔΓ καὶ τῆς ΓΚ μέση ἀνάλογον ἡ ΓΖ, καὶ ἐπεζεύχθω ἡ ΖΚ καὶ ἡ ΖΔ, περὶ δὲ τὴν ΚΔ τμῆμα γεγράφθω ὀξεῖαν ἔχον τὴν Φ γωνίαν· ἐφάψεται δὴ τῆς ΒΓ εὐθείας, ἐπείπερ ἐστίν, ὡς ἡ ΔΓ πρὸς τὴν ΓΖ, οὕτως ἡ ΖΓ πρὸς τὴν ΓΚ. κείσθω οὖν τὸ ὄμμα ἐπὶ τοῦ Β σημείου, καὶ προσβεβλήσθωσαν αἱ ΔΒ, ΒΚ,

1. μβ'] μθ' Vp, v m. 1; μϛ' v m. 2. 2. -θιστα-] in ras. V. 11. τοῦ] mut. in τό m. rec. V. μεταπιπτέτωσαι V,

42.

Locus est, unde oculo moto, magnitudine autem, quae cernitur, manente haec semper aequalis adparet.

cernatur enim $B\Gamma$, oculus autem sit Z, a quo radii adcidant ZB, $Z\Gamma$, triangulusque $BZ\Gamma$ segmento circuli $BZ\Gamma$ comprehendatur, et oculus Z ad Δ transponatur, radiique rursus adcidant ΔB, $\Delta\Gamma$. est igitur $\angle P = \Sigma$; nam in eodem segmento sunt. quae autem ab angulis aequalibus cernuntur, aequalia adparent [def. 4]. ergo $B\Gamma$ semper aequalis adparet, si oculus in arcu $B\Gamma\Delta$ mouetur.

43.

Locus est, unde oculo moto, magnitudo autem, quae cernitur, manente haec inaequalis adparebit.



cernatur enim $K\Delta$, recta autem sit $B\Gamma$ cum $K\Delta$ producta concurrens, et media inter $\Delta\Gamma$, ΓK proportionalis sumatur ΓZ, ducanturque ZK, $Z\Delta$, et circum $K\Delta$ segmentum describatur angulum acutum Φ comprehendens; continget igitur rectam $B\Gamma$, quoniam est $\Delta\Gamma : \Gamma Z = Z\Gamma : \Gamma K$. iam oculus in B

corr. m. rec. 12. *αἱ* (pr.)] om. p. 13. *P*] post ras. 1 litt. V. 14. *εἰσι*] supra *-σι* ras. V. 17. *μγ'*] *ν'* Vp, v m. 1; *μζ'* v m. 2. 20. *τό*] *τῷ* v. 24. *ὀξεῖαν*] in ras. V. *ἔχων* v, *-ον* in ras. V. 27. *προσεκβεβλήσθωσαν* p.

ἐπεζεύχθω δὲ ἡ ΣΔ. οὐκοῦν ἴση ἡ Φ γωνία τῇ Σ γωνίᾳ· ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσιν. καί ἐστιν ἡ Σ τῆς Β γωνίας μείζων· καὶ ἡ Φ ἄρα γωνία τῆς Β μείζων ἐστίν. τοῦ ἄρα ὄμματος ἐπὶ τοῦ Ζ ὄντος μεῖζον φανεῖται τὸ ΚΔ ἤπερ ἐπὶ τοῦ Β.

μδ'.

Τὸ δ' αὐτὸ συμβήσεται, κἂν παράλληλος ᾖ ἡ γραμμὴ τῷ ὁρωμένῳ μεγέθει, ἐφ' ἧς τὸ ὄμμα μεθίσταται.

ἔστω γὰρ παράλληλος ἡ ΒΓ τῷ ὁρωμένῳ τῷ ΔΖ, καὶ δίχα τετμήσθω ἡ ΔΖ κατὰ τὸ Κ, πρὸς ὀρθὰς δὲ ἀνήχθω ἡ ΚΝ. κείσθω οὖν τὸ ὄμμα ἐπὶ τοῦ Ν, καὶ ἐπεζεύχθωσαν αἱ ΝΔ, ΝΖ, περὶ δὲ τὴν ΔΖ τμῆμα γεγράφθω, ὃ δέξεται τὴν Φ, Α γωνίαν. ἐπεὶ οὖν διάμετρός ἐστιν ἡ ΚΝ, καὶ πρὸς ὀρθὰς ἀπ' ἄκρας ἦκται ἡ ΚΝ τῇ ΒΓ, ἡ ΒΓ ἄρα ἐφάπτεται τοῦ ΔΝΖ τμήματος. μετακείσθω δὴ τὸ ὄμμα ἐπὶ τοῦ Γ, καὶ προσβεβλήσθωσαν αἱ ΓΖ, ΓΔ, ἐπεζεύχθω δὲ ἡ ΡΖ. οὐκοῦν ἴση ἡ Φ, Α γωνία τῇ Ρ γωνίᾳ. ἡ δὲ Ρ τῆς Σ γωνίας μείζων ἐστίν· μείζων ἄρα καὶ ἡ Φ, Α τῆς Σ. τὰ δὲ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται· μεῖζον ἄρα φανεῖται τὸ ΔΖ τοῦ ὄμματος ἐπὶ τοῦ Ν κειμένου ἤπερ ἐπὶ τοῦ Γ. τοῦ ἄρα ὄμματος ἐπὶ τῆς ΒΓ μεθισταμένου παραλλήλου οὔσης τῇ ΔΖ ἄνισον φαίνεται τὸ ὁρώμενον.

---

2. *εἰσι* p. 3. Ante *Β* ras. 1 litt. V. *ἄρα*] in ras. V. 4. *ἐστί* p. 5. *ἐπί*] supra scr. m. 1 V. *Β*] e corr. V. 6. *μδ'*] *να'* Vp, v m. 1; *μη'* v m. 2. 7. *ᾖ*] supra scr. V. 10. *δὲ ἀνήχθω*] *διανοίχθω* v. 13. *Α*] postea ins. V. 15. *ΚΝ*] *Κ* e corr. m. rec. V. 16. *τοῦ*] mut. in *τό* m. rec. V.

puncto collocetur, et adcidant ΔB, BK, ducatur autem $\Sigma\Delta$. itaque $\angle \Phi = \Sigma$; nam in eodem segmento sunt. et $\angle \Sigma > B$; quare etiam $\angle \Phi > B$. ergo $K\Delta$ maius adparebit oculo in Z posito quam in B.

44.

Idem autem eueniet etiam, ubi recta, per quam oculus mouetur, magnitudini, quae cernitur, parallela est.

sit enim $B\Gamma$ magnitudini, quae cernitur, ΔZ parallela, et in K recta ΔZ in duas partes aequales secetur, perpendicularis autem erigatur KN. oculus igitur in N collocetur, ducanturque $N\Delta$, NZ, circum ΔZ autem segmentum describatur, quod angulum $\Phi + A$ capiat. iam quoniam KN diametrus est, et ad KN perpendicularis in termino erecta est $B\Gamma$, segmentum ΔNZ contingit $B\Gamma$. iam oculus ad Γ transponatur, et adcidant ΓZ, $\Gamma\Delta$, ducaturque PZ. itaque $\angle \Phi + A = P$. uerum $\angle P > \Sigma$; quare etiam $\angle \Phi + A > \Sigma$. quae autem ab angulo maiore cernuntur, maiora adparent [def. 4]; quare ΔZ maius adparebit oculo in N posito quam in Γ. ergo si oculus per $B\Gamma$ magnitudini ΔZ parallelam mouetur, quod cernitur, inaequale adparet.



---

17. *προβεβλήσθωσαν* Vpv. 19. *ἐστί* p. 20. *μείζονα*] *μείζωνα* v.

με'.

Ἔστι τις τόπος κοινός, ἐν ᾧ τὰ ἴσα μεγέθη ἄνισα φαίνεται.

ἔστω γὰρ ἴση ἡ ΒΓ τῇ ΓΔ, καὶ περὶ μὲν τὴν ΒΓ ἡμικύκλιον γεγράφθω τὸ ΒΖΓ, περὶ δὲ τὴν ΓΔ τμῆμα μεῖζον ἡμικυκλίου, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΓ, ΖΔ. οὐκοῦν ἡ ἐν τῷ ἡμικυκλίῳ γωνία μείζων ἐστὶ τῆς ἐν τῷ μείζονι τμήματι. τὰ δὲ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται· μείζων ἄρα ἡ ΒΓ τῆς ΓΔ φαίνεται· ἦν δὲ καὶ ἴση. ἔστιν ἄρα τόπος κοινός, ἐν ᾧ τὰ ἴσα μεγέθη ἄνισα φαίνεται.

μϛ'.

Ἔστι τις τόπος κοινός, ἀφ' οὗ τὰ ἄνισα μεγέθη ἴσα φαίνεται.

ἔστω γὰρ μείζων ἡ ΒΓ τῆς ΓΔ, καὶ περὶ μὲν τὴν ΒΓ μεῖζον ἡμικυκλίου τμῆμα γεγράφθω, περὶ δὲ τὴν ΓΔ ὅμοιον τῷ περὶ τὴν ΒΓ, τουτέστι δεχόμενον γωνίαν ἴσην τῇ ἐν τῷ ΒΖΓ, ἐπεζεύχθωσαν δὲ αἱ ΖΒ, ΖΓ, ΖΔ. οὐκοῦν ἐπεὶ ἴσαι εἰσὶν αἱ ἐν τοῖς ὁμοίοις τμήμασι γωνίαι ἀλλήλαις, ἴσαι εἰσὶ καὶ αἱ ἐν τοῖς ΒΖΓ, ΓΖΔ τμήμασι γωνίαι ἀλλήλαις. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται·



1. με'] νβ' V, v m. 1; μθ' v m. 2; νγ' p. 6. μείζων v. 7. ἐστίν v. 8. μείζονι] μείζωνι v, sed corr. 9. μείζων] μεῖζον v. 12. μϛ'] νδ' p; νγ' V et v m. 1; ν' v m. 2. 13. ἴσα] supra scr. m. rec. V. 15. μεῖζον v.

45.

Locus est communis, ubi magnitudines aequales inaequales adparent.

sit enim $B\Gamma = \Gamma\Delta$, et circum $B\Gamma$ semicirculus describatur $BZ\Gamma$, circum $\Gamma\Delta$ autem segmentum semicirculo maius, ducanturque ZB, $Z\Gamma$, $Z\Delta$. itaque angulus in semicirculo positus angulo in segmento maiore posito maior est. quae autem ab angulo maiore cernuntur, maiora adparent [def. 4]. itaque $B\Gamma$ maior adparet quam $\Gamma\Delta$; eadem autem aequalis erat. ergo locus est communis, ubi magnitudines aequales inaequales adparent.



46.

Locus est communis, unde magnitudines inaequales aequales adparent.

sit enim $B\Gamma > \Gamma\Delta$, et circum $B\Gamma$ segmentum describatur semicirculo maius, circum $\Gamma\Delta$ autem segmentum illi simile, h. e. quod angulum angulo in $BZ\Gamma$ posito aequalem capiat, ducanturque ZB, $Z\Gamma$, $Z\Delta$. quoniam igitur anguli in segmentis similibus positi inter se aequales sunt, etiam anguli in segmentis $BZ\Gamma$, $\Gamma Z\Delta$ positi inter se aequales sunt. quae autem ab angulis aequalibus cernuntur, aequalia adparent [def. 4]. oculo igitur in Z puncto posito $B\Gamma$ magnitudini $\Gamma\Delta$ aequalis adparebit; eadem autem maior est. ergo

τοῦ ἄρα ὄμματος τιθεμένου ἐπὶ τοῦ Ζ σημείου ἴση ἂν φαίνοιτο ἡ ΒΓ τῇ ΓΔ· ἔστι δὲ μείζων. ἔστι τις ἄρα τόπος κοινός, ἀφ' οὗ τὰ ἄνισα μεγέθη ἴσα φαίνεται.

μζ'.

Εἰσί τινες τόποι, ἐν οἷς τὰ ἄνισα μεγέθη δύο εἰς ταὐτὸ συντεθέντα ἴσα ἑκατέρῳ τῶν ἀνίσων φαίνεται.

ἔστω γὰρ μείζων ἡ ΒΓ τῆς ΓΔ, καὶ περὶ τὰς ΒΓ, ΓΔ ἡμικύκλια γεγράφθωσαν καὶ περὶ ὅλην τὴν ΒΔ. οὐκοῦν ἴση ἡ ἐν τῷ ΒΑΔ ἡμικυκλίῳ γωνία τῇ ἐν τῷ ΒΚΓ· ὀρθὴ γάρ ἐστιν ἑκατέρα αὐτῶν. ἴση ἄρα φαίνεται ἡ ΒΓ τῇ ΒΔ· ὡσαύτως δὲ καὶ ἡ ΒΔ τῇ ΓΔ τῶν ὀμμάτων ἐπὶ τῶν ΒΑΔ, ΒΚΓ, ΓΖΔ ἡμικυκλίων κειμένων. εἰσί τινες ἄρα τόποι, ἐν οἷς τὰ ἄνισα μεγέθη δύο εἰς ταὐτὸ συντεθέντα ἴσα ἑκατέρῳ τῶν ἀνίσων φαίνεται.



μη'.

Εὑρεῖν τόπους, ἀφ' ὧν τὸ ἴσον μέγεθος ἥμισυ φανεῖται ἢ τέταρτον μέρος καὶ καθόλου ἐν τῷ δοθέντι λόγῳ, ἐν ᾧ καὶ ἡ γωνία τέμνεται.

ἔστω γὰρ εὐθεῖα ἡ ΑΖ, καὶ περὶ τὴν ΑΖ γεγράφθω τμῆμα τυχόν, καὶ ἐγγεγράφθω εἰς αὐτὸ γωνία

2. φαίνειτο v, corr. m. 1. τις] in ras. m. 1 V. . 4. μζ' νε' p; νδ' V, m. 1 v; να' m. 2 v. 6. συντιθέντα p. 7. μεῖζον v

locus est communis, unde magnitudines inaequales aequales adparent.

47.

Loca sunt, ubi magnitudines inaequales duae coniunctae utriuis magnitudinum inaequalium aequales adparent.

sit enim $B\Gamma > \Gamma\Delta$, et circum $B\Gamma$, $\Gamma\Delta$ semicirculi describantur, item circum totam $B\Delta$. itaque angulus in semicirculo $BA\Delta$ positus angulo in semicirculo $BK\Gamma$ posito aequalis est; nam uterque rectus est. itaque $B\Gamma$ magnitudini $B\Delta$ et rursus $B\Delta$ magnitudini $\Gamma\Delta$ aequalis adparet oculis in semicirculis $BA\Delta$, $BK\Gamma$, $\Gamma Z\Delta$ positis. ergo loca sunt, ubi magnitudines inaequales duae coniunctae utriuis magnitudinum inaequalium aequales adparent.

48.

Loca inuenire, unde magnitudines aequales dimidiae adpareant uel quarta pars uel omnino secundum datam rationem, secundum quam angulus secatur.





recta enim sit AZ, et circum AZ segmentum quoduis describatur, in eoque angulus K inscribatur,

8. γεγράφθω p. 11. τῇ] τήν v. 12. $BK\Gamma$] post B ras. 1 litt. v. 15. $B\Gamma$] Γ e corr. V. 21. μη΄] νϛ΄ p; νε΄ V, m. 1 v; νβ΄ m. 2 v. 22. ὧν] οὗ v.

ἡ Κ, τῇ δὲ ΔΖ ἴση ἔστω ἡ ΒΓ, καὶ περὶ τὴν ΒΓ περιγεγράφθω τμῆμα, ὃ δέξεται τὴν τῆς Κ γωνίας ἡμίσειαν. οὐκοῦν ἡ Κ γωνία διπλασία ἐστὶ τῆς Δ γωνίας. διπλασία ἄρα φαίνεται ἡ ΔΖ τῆς ΒΓ τῶν ὀμμάτων ἐπὶ τῶν ΔΚΖ, ΒΔΓ περιφερειῶν κειμένων.

μθ'.

Τῶν ἴσῳ τάχει φερομένων καὶ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντων προσιόντων μὲν πρὸς τὸ ὄμμα τὸ τελευταῖον προηγεῖσθαι δόξει, παραλλαξάντων δὲ τὸ μὲν προηγούμενον ἐπακολουθεῖν, τὸ δὲ ἐπακολουθοῦν προηγεῖσθαι δόξει.

φερέσθω γὰρ ἰσοταχῶς τὰ ΒΓ, ΔΖ, ΚΛ, καὶ ἀπὸ τοῦ Μ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΜΓ, ΜΖ, ΜΛ. οὐκοῦν μετεωροτάτη ἐστὶ καὶ δεξιωτέρα τῶν ἀπὸ τοῦ ὄμματος ἀκτίνων προσπιπτουσῶν ἡ ΜΓ· τὸ ἄρα ΒΓ δόξει προηγεῖσθαι. παραλλαξάντων δὲ τῶν ΒΓ, ΔΖ, ΚΛ καὶ ἐπὶ τῶν ΝΞ, ΠΡ, ΣΤ γενομένων προσπιπτέτωσαν ἀκτῖνες αἱ ΜΝ, ΜΠ, ΜΣ. οὐκοῦν πασῶν τῶν ἀπὸ τοῦ ὄμματος ἀκτίνων προσπιπτουσῶν δεξιωτέρα ἐστὶν ἡ ΜΣ, ἀριστερὰ δὲ μᾶλλον ἡ ΜΝ· ὥστε καὶ τὸ μὲν ΣΤ προηγεῖσθαι δόξει, ἐπακολουθεῖν δὲ τὸ ΝΞ. τὸ μὲν ἄρα ΒΓ προηγούμενον ἐπὶ τοῦ ΝΞ γενόμενον δόξει ἐπακολουθεῖν, τὸ δὲ ΛΚ ἐπακολουθοῦν ἐπὶ τοῦ ΣΤ γενόμενον δόξει προηγεῖσθαι.

---

3. ἐστίν v. 6. μθ'] νζ' p; νε' V, m. 1 v; νγ' m. rec. v. 8. τελευτέον V. 13. Μ] supra scr. m. 1 V. 14. μετεωρωτάτη V, corr. m. rec.; μετεωροτάτη v. 23. δόξει] mg. m. 1 V.

sit autem $B\Gamma = \Delta Z$, et circum $B\Gamma$ segmentum describatur, quod partem dimidiam anguli K capiat. itaque $\angle K = 2\Delta$. ergo ΔZ duplo maior adparebit quam $B\Gamma$ oculis in arcubus ΔKZ, $B\Delta\Gamma$ positis.

49.

Magnitudinibus aequali celeritate motis et in eadem recta positis ad oculum adcedentibus ultima praecedere uidebitur, praetergressis autem praecedens sequi, sequens praecedere uidebitur.

aequali enim celeritate moueantur $B\Gamma$, ΔZ, $K\Lambda$, et ab M oculo adcidant radii $M\Gamma$, MZ, $M\Lambda$. $M\Gamma$ igitur e radiis ab oculo adcidentibus maxime sublimis est et ad partes dextras positus; quare $B\Gamma$ praecedere uidebitur. praetergressis autem $B\Gamma$, ΔZ, $K\Lambda$ ad $N\Xi$, ΠP, ΣT radii MN, $M\Pi$, $M\Sigma$ adcidant. ex omnibus igitur radiis, qui ab oculo adcidunt, maxime ad partes dextras positus est $M\Sigma$, ad sinistras autem MN; quare ΣT praecedere uidebitur, $N\Xi$ autem sequi. ergo $B\Gamma$ magnitudo praecedens, cum ad $N\Xi$ peruenerit, sequi uidebitur, ΔK uero sequens, cum ad ΣT peruenerit, praecedere uidebitur.



ν'.

Ἐάν τινων φερομένων πλειόνων ἀνίσῳ τάχει συμπαραφέρηται ἐπὶ τὰ αὐτὰ καὶ τὸ ὄμμα, τὰ μὲν τῷ ὄμματι ἰσοταχῶς φερόμενα δόξει ἑστάναι, τὰ δὲ βραδύτερον εἰς τοὐναντίον φέρεσθαι, τὰ δὲ θᾶττον εἰς τὰ προηγούμενα.

φερέσθω γὰρ ἀνίσῳ τάχει τὰ Β, Γ, Δ, καὶ βραδύτατα μὲν φερέσθω τὸ Β, τὸ δὲ Γ ἰσοταχῶς τῷ Κ ὄμματι, τὸ δὲ Δ θᾶττον τοῦ Γ, ἀπὸ δὲ τοῦ Κ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΒ, ΚΓ, ΚΔ. οὐκοῦν τοῦ ὄμματος συμπαραφερομένου τοῖς Β, Γ, Δ τὸ μὲν Γ κατὰ τὴν ΓΚ ἀεὶ φερόμενον ἑστάναι δόξει, τὸ δὲ Β ὑπολειπόμενον εἰς τοὐναντίον δόξει φέρεσθαι, τὸ δὲ Δ, ἐπεὶ θᾶττον τοῦ Γ φέρεται, δόξει εἰς τοὔμπροσθεν· πλεῖον γὰρ ἀπὸ τοῦ Γ ἀποστήσεται.

να'.

Ἐάν τινων φερομένων διαφαίνηταί τι μὴ φερόμενον, δόξει τὸ μὴ φερόμενον εἰς τοὐναντίον φέρεσθαι.

φερέσθω γὰρ τὰ Β, Δ, μενέτω δὲ τὸ Γ, καὶ ἀπὸ τοῦ Ζ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΖΒ, ΖΓ, ΖΔ. οὐκοῦν τὸ μὲν Β φερόμενον ἔγγιον ἔσται τοῦ Γ, τὸ δὲ Δ ἀποχωροῦν πορρώτερον. ὥστε δόξει τὸ Γ εἰς τοὐναντίον φέρεσθαι.

---

1. ν'] νη' p; νζ' V, m. 1 v; νδ' m. 2 v. 2. συμπαραφέρειται v, corr. m. 1. 3. τό] corr. ex τῷ V. τῷ] τό v. 4. φερόμενοι V, sed corr. 5. φαίρεσθαι v. 9. ἰσωταχῶς V, sed corr. m. 1. 11. ΚΒ] ΒΚ seq. lac. 1 litt. v. 14. ΓΚ]

50.

Si compluribus magnitudinibus inaequali celeritate motis in partes easdem etiam oculus mouetur, quae eadem celeritate mouentur, qua oculus, stare uidebuntur, quae minore, in partes contrarias moueri, quae maiore, praecedere.

moueantur enim inaequali celeritate *B*, *Γ*, *Δ*, et *B* minima celeritate moueatur, *Γ* eadem, qua oculus *K*, *Δ* maiore quam *Γ*, ab oculo autem *K* radii adcidant *KB*, *KΓ*, *KΔ*. itaque si oculus in partes easdem mouetur, in quas *B*, *Γ*, *Δ*, magnitudo *Γ*, quae ad *ΓK* semper mouetur, stare uidebitur, *B* autem, quae remanet, in partes contrarias moueri uidebitur, *Δ* uero, quoniam celerius mouetur quam *Γ*, praecedere; magis enim a *Γ* remouebitur.

51.

Si motis magnitudinibus aliquot interlucet aliquid non motum, hoc in partes contrarias moueri uidebitur.



moueantur enim *B*, *Δ*, maneat autem *Γ*, et a *Z* oculo radii adcidant *ZB*, *ZΓ*, *ZΔ*. itaque *B* magnitudo cum mouetur, magnitudini *Γ* adpropinquabit, *Δ* autem, quae recedit, longius distabit. ergo *Γ* in partes contrarias moueri uidebitur.

Γ seq. lac. 1 litt. v. 16. *ἐπεί*] *ἐπί* v. *θᾶττον* v. 18. *να′*] *νθ′* p; *νη′* V, m. 1 v; *νε′* m. 2 v. 19. *μή*] in ras. m. 1 V, om. p. 23. *ἔγγειον* V. 24. *ἀποχωροῦν*] *ἀποχωρείτω* V. 25. *εἰς*] om. p.

νβ'.

Τοῦ ὄμματος ἔγγιον τοῦ ὁρωμένου προσιόντος δόξει τὸ ὁρώμενον ηὐξῆσθαι.

ὁράσθω γὰρ τὸ ΒΓ τοῦ ὄμματος ἐπὶ τοῦ Ζ κειμένου ὑπὸ τῶν ΖΒ, ΖΓ ἀκτίνων, καὶ μετακείσθω τὸ ὄμμα ἔγγιον τοῦ ΒΓ καὶ ἔστω ἐπὶ τοῦ Δ, καὶ ὁράσθω τὸ αὐτὸ ὑπὸ τῶν ΔΒ, ΔΓ ἀκτίνων. οὐκοῦν μείζων ἡ Δ γωνία τῆς Ζ γωνίας. τὰ δὲ ὑπὸ μειζόνων γωνιῶν ὁρώμενα μείζονα φαίνεται· δόξει ἄρα ηὐξῆσθαι τὸ ΒΓ τοῦ ὄμματος ἐπὶ τοῦ Δ ὄντος ἤπερ ἐπὶ τοῦ Ζ.



νγ'.

Τῶν ἴσῳ τάχει φερομένων τὰ πόρρω δοκεῖ βραδύτερον φέρεσθαι.

φερέσθω γὰρ ἰσοταχῶς τὰ Β, Κ ὡς ἐπὶ τὰ Ζ μέρη· καὶ ἀπὸ τοῦ Α ὄμματος ἀκτῖνες ἤχθωσαν αἱ ΑΓ, ΑΔ, ΑΖ. οὐκοῦν τὸ Κ ἐλάσσονας ἔχει τὰς ἀπὸ τοῦ Α ὄμματος ἀκτῖνας ἠγμένας ἤπερ τὸ Β· ἔλαττον ἄρα διάστημα διελεύσεται καὶ πρότερον παραλλάσσον τὴν ΑΖ ὄψιν δόξει ταχύτερον φέρεσθαι.

νδ'.

Τοῦ ὄμματος παραφερομένου τὰ πόρρω τῶν ὁρωμένων καταλείπεσθαι δόξει.

---

1. *νβ'*] ξ' p; *νθ'* V, m. 1 v; *νξ'* m. 2 v. 2. *ἔγγειον* V. 3. *ηὐξεῖσθαι* V, sed corr. 6. *ἔγγειον* V. 9. Ante *ΔΓ* ras. 2 litt. v. 10. *μεῖζον* v. 11. *μειζώνων* V, sed corr.

52.

Magnitudo, quae cernitur, oculo ei adpropinquante aucta esse uidebitur.

oculo enim in Z posito cernatur $B\Gamma$ a radiis ZB, $Z\Gamma$, et oculus magnitudinem $B\Gamma$ propius transponatur sitque in Δ, et eadem magnitudo a radiis ΔB, $\Delta\Gamma$ cernatur. itaque $\angle \Delta > Z$. quae autem ab angulis maioribus cernuntur, maiora adparent. ergo $B\Gamma$ oculo in Δ posito maior esse uidebitur quam in Z.

53.

Magnitudinum aequali celeritate motarum remotiores tardius moueri uidentur.



moueantur enim aequali celeritate B, K ad partes Z, et ab A oculo radii ducantur $A\Gamma$, $A\Delta$, AZ. itaque K radios ab A oculo ductos minores habebit quam B. ergo distantiam minorem permeabit et, cum uisum AZ prius transgrediatur, celerius moueri uidebitur.

54.

Ubi oculus praetermouetur, res, quae remotiores cernuntur, remanere uidebuntur.

---

13. ὄντος] corr. ex ὄμματος V. 14. νγ'] ξα' p; ξ' V, m. 1 v; νζ' m. 2 v. 18. ΑΓ] seq. ras. 1 litt. V, corr. ex ΑΒΓ v. 21. καί — 22. φέρεσθαι] om. V. 21. παραλλάσσων vp. 23. νδ'] ξβ' p, ξα' V, νη' in ras. m. 2 v.

ἔστω γὰρ ὄμμα τὸ Β, ἀφ' οὗ ἤχθωσαν ἀκτῖνες α
ΒΓ, ΒΔ, ΒΖ, ὁρώμενα δὲ τὰ
Κ, Λ. οὐκοῦν τοῦ ὄμματος
παραφερομένου πρὸς τοῖς Γ
5 μέρεσι θᾶττον παρελεύσονται αἱ
ὄψεις τὸ Κ ἤπερ τὸ Λ. δόξει
ἄρα τὸ Κ ὑπολείπεσθαι, τὸ δὲ
Λ εἰς τοὐναντίον φέρεσθαι,
τουτέστιν ὡς ἐπὶ τὰ πρὸς τῷ
10 Ζ μέρη.



νε'.

Τὰ αὐξανόμενα τῶν μεγεθῶν ἔγγιον δοκεῖ τῷ ὄμ
ματι προσάγεσθαι.

ἔστω γὰρ ὁρώμενον τὸ ΓΒ ὑπὸ τῶν ΚΒ, Κ
15 ἀκτίνων, καὶ ηὐξήσθω τὸ ΒΓ τῷ ΒΔ, καὶ ἀπὸ τοῦ
ὄμματος προσπιπτέτω ἀκτὶς ἡ ΚΔ. οὐκοῦν μείζων
ὑπὸ ΔΚΓ γωνία τῆς ὑπὸ ΒΚΓ γωνίας. τὰ δὲ ὑπ
μείζονος γωνίας ὁρώμενα ἔγγιον φαίνεται. ἔγγιον ἄρ
δόξει εἶναι τὸ ΓΔ ἤπερ τὸ ΒΓ.

20 νϛ'.

Ὅσα μὴ ἐν τῷ αὐτῷ ἀποστήματι κεῖται μὴ παρ
άλληλα κείμενα τῶν ἄκρων μὴ κατάλληλα κειμένων τῶ
μέσων μηδὲ ἐπ' εὐθείας ὄντων, τὸ ὅλον σχῆμα ὁτ
μὲν κοῖλον, ὁτὲ δὲ κυρτὸν ποιεῖ.

25 ὁράσθω γὰρ τὰ Β, Γ, Δ τοῦ ὄμματος ἐπὶ τοῦ Λ

---

5. μέρεσιν V v. 7. τὸ δέ] corr. ex τοῦ δέ V. 11. νε
ξγ' p, ξβ' V, νθ' in ras. m. 2 v. 12. ἔγγειον V. 14. ΓΒ
ΒΓ p. 15. ηὐξείσθω v, sed corr. 16. μεῖζον v. 1
ἔγγιον (pr.)] ἔγγειον V, μείζονα p, om. v. φαίνεται] om.

oculus enim sit B, a quo ducantur radii $B\Gamma$, $B\Delta$, BZ, cernantur autem K, Δ. itaque ubi oculus ad partes Γ praetermouetur, uisus magnitudinem K prius transgredientur quam Δ. ergo K remanere uidebitur, Δ autem in partes contrarias moueri, h. e. ad partes ad Z positas.

55.

Magnitudines auctae oculo adpropinquare uidentur.



ΓB enim a radiis KB, $K\Gamma$ cernatur, et $B\Gamma$ magnitudine $B\Delta$ augeatur, et ab oculo K adcidat radius $K\Delta$. itaque $\angle \Delta K\Gamma > BK\Gamma$. quae autem ab angulo maiore cernuntur, propiora uidentur. ergo $\Gamma\Delta$ propius esse uidebitur quam $B\Gamma$.

56.

Quae nec parallela sunt nec in eadem distantia posita extremis nec mediis respondentibus nec in eadem recta positis, totam figuram tum concauam tum conuexam efficiunt.[1])

cernantur enim B, Γ, Δ oculo in K posito, radii-

1) Cum Graeca sensu careant, Latina in hoc quoque uestigia eorum sequi coguntur.

ἔγγιον (alt.)] ἔγγειον V. Ante ἔγγιον (alt.) add. τὰ δὲ μείζονα ἑαυτῶν οἰόμενα τοῦ ὄμματος ἐπαυξάνεσθαι δοκοῦσι· καὶ τὰ αὐξανόμενα ἄρα τῶν μεγεθῶν δόξει προσάγεσθαι τῷ ὄμματι p. 20. νϛ'] ξδ' p, ξγ' V v (γ del. m. 2 v). 23. μηδέ] μηδ' p.

κειμένου, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΒ, ΚΓ, ΚΔ. οὐκοῦν τὸ ὅλον σχῆμα κοῖλον ἂν δόξειεν εἶναι. μετακινείσθω δὴ πάλιν τὸ ὁρώμενον καὶ ἔγγιον κείσθω τοῦ ὄμματος. οὐκοῦν τὸ ΔΒΓ δόξει κυρτὸν εἶναι.

νζ'.

Τετραγώνου ὑπάρχοντος ἐὰν ἀπὸ τῆς συναφῆς τῶν διαμέτρων πρὸς ὀρθάς τις ἀναχθῇ τῷ τοῦ τετραγώνου ἐπιπέδῳ, ἐπὶ δὲ ταύτης τεθῇ τὸ ὄμμα, αἵ τε πλευραὶ τοῦ τετραγώνου καὶ αἱ διάμετροι ἴσαι φανοῦνται.



ἔστω γὰρ τετράγωνον τὸ ΓΖ, καὶ διάμετροι ἤχθωσαν αἱ ΓΖ, ΚΔ, καὶ ἀπὸ τοῦ Θ πρὸς ὀρθὰς ἤχθω τῷ ἐπιπέδῳ ἡ ΘΒ, τὸ δὲ ὄμμα κείσθω ἐπὶ τοῦ Β, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΒ, ΒΔ, ΒΓ, ΒΖ. οὐκοῦν δύο αἱ ΖΘ, ΘΒ δύο ταῖς ΓΘ, ΘΒ ἴσαι εἰσίν. εἰσὶ δὲ καὶ αἱ γωνίαι αἱ περιεχόμεναι ὑπ' αὐτῶν ἴσαι, τουτέστιν αἱ πρὸς τῷ Θ· ἴση ἄρα καὶ ἡ ΖΒ βάσις τῇ ΒΓ βάσει. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΚΒ τῇ ΒΔ ἴση ἐστίν. δύο δὴ αἱ ΖΒ, ΒΓ δυσὶ ταῖς ΚΒ, ΔΒ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καί εἰσιν αἱ διάμετροι ἴσαι· ὥστε καὶ αἱ πρὸς τῷ Β γωνίαι ἴσαι ἔσονται. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται· ἴσαι ἄρα φανοῦνται αἵ τε διάμετροι καὶ αἱ πλευραὶ τοῦ τετραγώνου.

---

2. ἄν] scripsi; om. Vvp. 3. ἔγγειον V. 5. νζ'] ξε' p ξδ' V, m. 1 v; ξα' m. 2 v. 8. ἐπὶ δέ] ἐπεὶ δή v. ταύτης αὐ seq. lac. 3 litt. v. 9. ἴσοι p. 15. ΒΔ] Β e corr. v

que adcidant KB, $K\Gamma$, $K\Delta$. itaque tota figura concaua uidebitur. iam rursus magnitudo, quae cernitur,



transponatur oculoque adpropinquet. ergo $\Delta B\Gamma$ conuexa uidebitur esse.

57.

Dato quadrato si in puncto sectionis diametrorum recta ad planum quadrati perpendicularis erigitur, in eaque oculus collocatur, et latera quadrati et diametri aequales adparebunt.

sit enim ΓZ quadratum, ducanturque diametri ΓZ, $K\Delta$, et in Θ ad planum perpendicularis erigatur ΘB, oculus autem in B ponatur, adcidantque radii KB, $B\Delta$, $B\Gamma$, BZ. itaque duae $Z\Theta$, ΘB duabus $\Gamma\Theta$, ΘB aequales sunt. uerum etiam anguli ab iis comprehensi, h. e. qui ad Θ positi sunt, aequales sunt. ergo etiam $ZB = B\Gamma$. eadem de causa etiam $KB = B\Delta$. quare duae ZB, $B\Gamma$ duabus KB, ΔB singulae singulis aequales sunt; et diametri sunt aequales; quare etiam anguli ad B positi aequales erunt. quae autem ab angulis aequalibus cernuntur, aequalia adparent. ergo et diametri et latera quadrati aequalia adparebunt.

---

16. ΘB — 17. $\Gamma\Theta$] om. v. 17. ΘB] corr. ex $\Theta\Gamma$ v. 22. KB] e corr. m. 1 v. ἐστί p. 23. ΔB] v et m. rec. corr. ex $\Delta\Gamma$ V, $\Delta\Theta$ p. 26. τε] ται v.

Τῆς δὲ ἀπὸ τῶν ὀμμάτων ἐπὶ τὴν συναφὴν τῶν διαμέτρων μήτε πρὸς ὀρθὰς οὔσης τῷ ἐπιπέδῳ μήτε ἴσης ἑκατέρᾳ τῶν ἀπὸ τῆς συναφῆς πρὸς τὰς γωνίας τοῦ τετραγώνου ἀγομένων μήτε ἴσας γωνίας περιεχούσης
5 *μετ' αὐτῶν αἱ διάμετροι ἄνισοι φανοῦνται. ὁμοίως γὰρ δείξομεν τὰ συμβαίνοντα, καθάπερ καὶ ἐν τοῖς κύκλοις.*

---

2. *μήτε* (pr.)] *μή* p. 4. *ἴσας*] corr. ex *ἴσης* m. rec. V. In fine: *τὰ πρὸ ὀπτικῶν Εὐκλείδου φίλε τέλος εἴληφε εὐδοκοῦντος, ᾧ δόξα* p.

Sin recta ab oculo ad punctum sectionis diametrorum ducta neque ad planum perpendicularis est neque utrique rectae, quae a puncto sectionis ad angulos quadrati ducuntur, aequalis neque cum iis angulos aequales comprehendit, diametri inaequales adparebunt. nam eodem modo, quo in circulis, rei rationem demonstrabimus.

SCHOLIA

IN

OPTICORUM RECENSIONEM THEONIS.

Ad praefationem.

1. *Τουτέστι κατὰ συνέχειαν* p. 148, 18—19] *οὐ τοῦτο ἔοικε λέγειν τὸ κατὰ συνέχειαν ἤγουν συνεχῶς καὶ ἐχομένως ἀεί· εἴη γὰρ ἂν ἐναντίον τῷ ἐν διαστήματι φέρεσθαι καὶ ἐκ διαστημάτων ταύτας ὑπάρχειν· λέγει δὲ κατὰ συνέχειαν τὸ ἐφεξῆς μεταπίπτειν καὶ μὴ πεπλανημένως, ἀλλὰ κατὰ μετάβασιν προϊούσας καὶ μεθισταμένας.*

2. *Ἔφερεν αἰτίας* p. 148, 22] *ἤγουν αἰτιάματα ὡς μὴ κατὰ λόγον λεγόμενον αἰτιώμενος αὐτό.*

3. *Οἷον γωνίαι* p. 154, 2] *κἀντεῦθεν ὅρα τὸ ἐν διαστήμασι τὰς ὄψεις φέρεσθαι, νόει δὲ ταῦτα τὰ διαστήματα βραχύτατα ὅσον οἷόν τέ ἐστι μάλιστα, ὅσον ταῖς πρὸς τῷ ὄμματι γωνίαις ἐγγίζει ..... πορρώτερον τοῦ ὄμματος ἀεὶ μείζω γίνεται .... κέντρου γὰρ τοῦ ὄμματος νοουμένου ἀνάγκη τὰς ὄψεις κωνοειδῶς φέρεσθαι καὶ προϊούσας μᾶλλον ἀλλήλων σχίζεσθαι, ὃ καὶ δῆλον αἴτιον γίνεσθαι τοῦ πᾶν μέγεθος ἔχειν τι διάστημα, ἀφ' οὗ οὐχ ὁρᾶται. μέχρι μὲν γὰρ ἔγγιον ὂν μεῖζον ᾖ τοῦ τῶν ὄψεων διαστήματος, ὁρᾶται, ἐπειδὰν*

1. v¹. 2. v¹. 3. v¹.

14. Ante *πορρώτερον* septem litterae, quas extricare nequeo. 15. *ὄματος* v¹. Ante *κέντρου* comp. incertum (*ἐξ ἀνάγκης*?). 16. *ἀνάγκη*] comp. v¹.

δὲ πορρώτερον γενόμενον μείζονι ἑαυτοῦ διαστήματι τῶν ὄψεων ἐντύχῃ, ἤδη μηδαμῶς αὐτοῦ τῶν ὄψεων ἐφαπτομένων διὰ τὸ παρεμπεπτωκέναι τῷ διαστήματι αὐτῶν οὐχ ὁρᾶται.

Ad definitiones.

4. Τὰ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται οὐχ ἑαυτῶν, ἀλλὰ μείζονα δηλονότι, ἢ εἰ ἑωρᾶτο ὑπὸ ὀξείας γωνίας· οἷον ὡς ἐν ὑποδείγματι ἔστωσαν δύο τρίγωνα ἴσα τὰ ΒΓΔ, ΒΚΛ, μείζων δὲ ἔστω ἡ τοῦ ΒΓΔ τριγώνου πρὸς τῷ Β γωνία, παρ' ὃ ἡ τοῦ ΒΚΛ πρὸς τῷ αὐτῷ σημείῳ. λέγω, ὅτι τὸ ΒΓΔ τρίγωνον ὑπὸ μείζονος γωνίας ὁρώμενον, παρ' ὃ τὸ ΚΒΛ, μεῖζον φαίνεται τοῦ ΚΒΛ διὰ τὸ τὴν ὑπὸ ΓΒΔ γωνίαν εἶναι μείζονα τῆς ὑπὸ ΚΒΛ. ἢ τὸ μείζονα ἐνταῦθα τὸ συγκριτικὸν ἀντὶ ἁπλοῦ κεῖται ὡς εἶναι τὸ μείζονα φαίνεσθαι ἀντὶ τοῦ μεγάλα φαίνεσθαι, ὥσπερ τὸ ἐναντίον τὰ ὑπὸ ἐλάσσονος γωνίας θεωρούμενα μικρὰ φαίνεται καὶ τὰ ὑπὸ ἴσης ἴσα.

5. Μετεώρους μὲν ἁπλῶς ἀκτῖνας τὰς μακρὰς ὀνομάζει καὶ ὑψηλάς, μετεωροτέρας δὲ τούτων αὐτῶν πάλιν τὰς μακροτέρας τε καὶ ὑψηλοτέρας· οἷον ὡς ἐν ὑποδείγματι ἔστωσαν τρία μεγέθη ἀλλήλων ἀπέχοντα ἱκανὸν διάστημα τὰ ΒΓ, ΔΖ, ΚΛ, καὶ προσπιπτέτωσαν ἐπ'



4. V² (ad def. 4). 5. V² (ad def. 5).

1. Post γενόμενον del. ... τῶν διαστήματος γενόμενον v¹. 6. σχόλιον V². 7. δηλονότι] supra scr. m. 1 V². 15. συγγριτικόν V².

αὐτὰ ὄψεις αἱ BN, ΔN, KN. λέγω, ὅτι ἴσων μεγεθῶν τούτων ὑποκειμένων καὶ ἀπὸ τοῦ N σημείου, καθ' ὅ ἐστι τὸ ὄμμα, τῶν ἀκτίνων προσπιπτουσῶν μετεωροτέρα ἐστὶν ἡ μὲν BN ἀκτὶς τῆς ΔN, ἡ δὲ ΔN τῆς KN, καὶ ὁμοίως ἂν τοῦτο ὑπῆρχεν, εἰ καὶ ἕτεραι πλείους αὐτῶν ἦσαν.

6. Τουτέστιν ὅταν τὸ αὐτὸ διὰ πλειόνων γωνιῶν ὁρᾶται· τότε γὰρ ἐκ τῶν ὄψεων ἀκτῖνες αὐταῖς ἐρειδόμεναι διὰ πλειόνων ἂν λέγοιντο ὁρᾶν τὸ ὁρώμενον.

Ad prop. I.

7. Δεῖ γὰρ τὸ ὁρώμενον ἀπόστασίν τινα ἔχειν πρὸς τὸ ὄμμα· οὕτω γὰρ καὶ ὁραθήσεται, ὡς, εἴ γε μηδεμίαν ἀπόστασιν ἔχει, οὐχ ὁραθήσεται.

Ad prop. II.

8. Οὐ γὰρ ἂν εἴποιμεν p. 156, 17] εἰ γὰρ ἐλεύσονται διὰ τῶν Γ, Δ, γίνεται τρίγωνον ἔχον δύο ὑποτεινούσας, ὧν ἡ ἐκτὸς ὑποτείνουσα μείζων γίνεται τῆς ἐντός, ὑπετέθη δὲ ἴση.

9. Μὴ θορυβείτω γὰρ ἡμᾶς τοῦτο, ὅπως τὸ μὲν $B\Gamma\Delta$ τρίγωνον ἐπὶ πλέον ἠνέῳκται κατὰ πλάτος, τὸ δὲ $BK\Delta$ στενώτερόν ἐστι. πρῶτον μὲν γὰρ τοῦ στοιχειωτοῦ ζητοῦντος ἴσα καὶ παράλληλα νοεῖν τὰ φαινόμενα, εἴπερ τὸ $BK\Delta$ τρίγωνον κατὰ πάντα ἐφήρμοζε τῷ $B\Gamma\Delta$ τριγώνῳ, οὐκ ἂν ἦσαν δύο, ἀλλ' ὡς ἓν ἐφαίνοντο, ἀλλ' οὐδὲ παράλληλα· νῦν δ' οὕτως, ὡς

6. V^2 (ad def. 7). 7. M¹Rqru(Ft). 8. V^2q. 9. V^2.

12. γὰρ καί] καὶ γάρ Ru, γάρ r. 17. ἐκτός] e corr. V^2.

ἔχει, τεθέντων συμβαίνει τὴν ἔκθεσιν ἐφαρμόζειν αὐτοῖς· καὶ γὰρ παράλληλά τέ εἰσι τὰ τρίγωνα, καὶ τὸ ΒΚΛ τρίγωνον πλεονεκτεῖ τῷ μήκει τῶν ΒΚ, ΒΛ γραμμῶν, καί ἐστι διὰ ταῦτα ἴσον τὸ ἕτερ.....

10. Ἐπειδή, ὅσαι ἂν ἀκτῖνες ἐπὶ τὸ ΓΔ προσπέσωσιν, ἐξώτεραι ἔσονται τοῦ ΚΛ μὴ προσπίπτουσαι αὐτῷ· ὥστε ὑπὸ πλειόνων δρᾶται τὸ ΓΔ.

11. Ἀλλὰ δηλονότι μέχρι τῶν Κ, Λ περάτων ἐλθοῦσαι στήσονται καὶ ἐφ' ἑαυτὰς ἀνακλασθήσονται .... στηρίζουσιν, ἀλλ' ὡς θ..τι ἐπεὶ ἐγγύτερόν ἐστι τὸ ΒΓΔ τρίγωνον, καὶ πλείονες ὄψεις τούτῳ προσπεσοῦνται, καὶ ἀκολούθως ἀκριβέστερον δραθήσεται, τουτέστι μᾶλλον ἢ τὸ ἕτερον δραθήσεται.

12. Πλειόνων ὄψεων p. 156, 23] εἰ δὲ ὑπὸ πλειόνων ὄψεων, καὶ ὑπὸ πλειόνων γωνιῶν.

Ad prop. III.

13. Ἴσως εἴποι τις ἄν, ὡς, ἐπειδὴ οὐ μόναι αἱ ΒΓ, ΒΔ προσπίπτουσιν ἀκτῖνες πρὸς τὸ ΓΔ μέγεθος, ἀλλὰ καὶ ἄλλαι πλεῖσται μεταξὺ τῶν Γ, Δ, ὅτε ἀφισταμένου τοῦ ΓΔ μεγέθους οὐ πίπτουσιν αἱ ΒΓ, ΒΔ ἀκτῖνες, προσπεσοῦνται αἱ μεταξὺ τοῦ μέσου προσπεσοῦσαι ἀκτῖνες. λέγομεν οὖν πρὸς τὸν οὕτω ἀπορήσαντα, ὅτι, εἰ καὶ πρὸς μικρὸν ἀφεστηκότος τοῦ ΓΔ μεγέθους οὐ προσβαλοῦσιν αἱ ΒΓ, ΒΔ ἀκτῖνες, ἀλλ' αἱ μεταξὺ τοῦ μέσου, καὶ ἐπὶ πλεῖστον ἀφεστηκότος τοῦ τοιούτου μεγέθους οὐδ' αἱ μεταξὺ τοῦ μέσου προσπεσοῦνται διὰ τὸ πλατύνεσθαι τὸ μεταξὺ τῶν τοιούτων ὄψεων διάστημα

10. VM¹FRqst (ad p. 156, 23). 11. V². 12. R¹. 13. R(MAFqrstu, Vat. m. 2).

8—10 non intellego. 17. εἴποι] Mqr, εἴπῃ RFrt.

ἀφισταμένου τοῦ μεγέθους ὄντος ὡρισμένου παντὸς μεγέθους.

14. Τῶν γὰρ διαστημάτων ἢ μᾶλλον ἀποστάσεων προχωρουσῶν ἔσται μεταξὺ διάστημα, οὗ αἱ ἀποστάσεις διὰ τὸ ἀπ' ἀλλήλων ἀποσχισθῆναι οὐχ ἅψονται.

Ad prop. IV.

15. Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΚΒΖ ὀρθὴν ἔχον τὴν πρὸς τῷ Β, ἴσαι δὲ ἔστωσαν αἱ ΒΓ, ΓΔ, ΔΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΚ, ΔΚ. φημὶ δή, ὅτι ἡ Μ τῆς Ν μείζων ἐστίν, ἡ δὲ Ν τῆς Ξ. ἤχθω γὰρ ἀπὸ τοῦ Γ τῇ ΔΚ παράλληλος ἡ ΓΛ. ἔστιν ἄρα, ὡς ἡ ΔΓ πρὸς ΓΒ, οὕτως ἡ ΚΛ πρὸς τὴν ΛΒ. ἴση δὲ ἡ ΔΓ τῇ ΓΒ· ἴση ἄρα καὶ ἡ ΚΛ τῇ ΛΒ. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Β, μείζων ἡ ΓΛ τῆς ΛΒ, τουτέστι τῆς ΛΚ· ὥστε καὶ γωνία ἡ Μ μείζων ἐστὶ τῆς Ο. ἀλλὰ ἡ Ο ἴση ἐστὶ τῇ Ν· ἐναλλὰξ γάρ εἰσιν· καὶ ἡ Ν ἄρα τῆς Μ ἐλάσσων ἐστίν. πάλιν ἀπὸ τοῦ Δ τῇ ΖΚ παράλληλος ἤχθω ἡ ΔΠ· φανερὸν δή, ὅτι ἡ Ρ μείζων ἐστὶν ὀρθῆς. ὥστε πάλιν ὁμοίως δείξομεν, ὅτι ἡ ΠΔ μείζων ἐστὶ τῆς ΠΚ· ὥστε καὶ γωνία ἡ Ν



14. R¹. 15. V(Vat.qr); ad p. 158, 20.

1. ὁρισμένου R. 7. ὀρθογώνιον] ⊥ᵒᵛ V. ὀρθήν] ⊥ V. 19. τῆς (pr.)] τῇ V? 21. Ante τῆς ras. 4 litt. V. ἐναλάξ V. 22. Μ] e corr. m. rec. V. ἐλάσσων] comp. corr. ex μείζων m. rec. V. 23. Ante Ρ eras. η V.

τῆς Σ. ἀλλ' ἡ Σ τῇ Ξ ἐστιν ἴση· καὶ ἡ Ν ἄρα τῆς Ξ μείζων ἐστίν.

16. *Ἔστω ἴσα διαστήματα ἐπὶ μιᾶς εὐθείας τὰ ΑΒ, ΒΓ, ΓΔ, καὶ ἀνήχθω τῇ ΑΔ πρὸς ὀρθὰς ἡ ΑΕ, ἐφ' ἧς κείσθω ὄμμα τὸ Ε. λέγω, ὅτι μεῖζον φανήσεται τὸ μὲν ΑΒ τοῦ ΒΓ, τὸ δὲ ΒΓ τοῦ ΓΔ. προσπιπτέτωσαν γὰρ ἀκτῖνες αἱ ΕΒ, ΕΓ, ΕΔ, καὶ ἤχθω διὰ τοῦ Β σημείου τῇ ΓΕ εὐθείᾳ παράλληλος ἡ ΒΖ διὰ τὸ δεύτερον τοῦ ἕκτου. λοιπὸν ἔσται ἴση ἡ ΑΖ τῇ ΖΕ. μείζων δὲ ἡ ΒΖ τῆς ΖΑ διὰ τὸ μείζονα γωνίαν ὑποτείνειν· μείζων ἄρα καὶ τῆς ΖΕ. μείζων ἄρα καὶ ἡ Θ γωνία τῆς Κ. ἀλλὰ τῇ Κ ἴση ἡ Λ διὰ τὸ εἶναι ἐναλλάξ· μείζων ἄρα ἡ Θ καὶ τῆς Λ. μεῖζον ἄρα ὀφθήσεται τὸ ΑΒ τοῦ ΒΓ. ὁμοίως διὰ τοῦ Γ ἀχθείσης παραλλήλου τῇ ΔΕ τῆς ΓΗ δειχθήσεται τὸ ΒΓ, ὅτι μεῖζον φανήσεται τοῦ ΓΔ.*

17. *Διὰ τὸ τὴν ΛΓ ὑποτείνειν καὶ τὴν Μ μείζονα οὖσαν καὶ τῆς ΛΚ τῆς ὑποτεινούσης τὴν Ο, ἡ δὲ μείζων πλευρὰ τὴν μείζονα γωνίαν ὑποτείνει.*

ἡ δὲ εἰς τὰς παραλλήλους εὐθείας ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖ.

Ad prop. VI.

18. *Κάθετος ἄρα ἐστίν* p. 162, 3—4] *πῶς ἡ ΚΜ κάθετός ἐστιν ἐπὶ τὴν ΜΛ, δείξομεν οὕτως· ἐπεὶ ἀπὸ*

---

16. v[1] in mg. sup. (ad ipsam prop. 4 add. *ἑτέρα τούτου ἄνω ἀπόδειξις*); est opt. uet. prop. IV. 17. q (ad schol. nr. 15 p. 255, 20 et 21). 18. R, q fol. 109 (add. *ζήτει ἐν τῷ ζ' θεωρήματι*) (M[1]Arsu, Vat. m. 2).

---

24. Post *ἐπεί* add. *ὁ*[v] (*οὖν*) R.

τοῦ Κ ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἦκται ἡ ΚΛ, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ἡ ΚΛ ὀρθὰς ποιήσει γωνίας. ἐπεὶ οὖν ἐπὶ τὴν ΖΛ κάθετος ἦκται ἡ ΑΜ, καὶ πρὸς τὴν ΑΜ ἡ ΚΛ ὀρθὴν ποιήσει γωνίαν. ἐπεζεύχθω ἀπὸ τοῦ Α καὶ ἐπὶ τὸ Λ ἡ ΑΛ· καὶ πρὸς ἄρα τὴν ΑΛ ἡ ΑΚ ὀρθὴν ποιήσει γωνίαν. ἐπεὶ οὖν τρίγωνόν ἐστιν ὀρθογώνιον τὸ ΚΑΛ ὀρθὴν ἔχον τὴν ὑπὸ ΚΑΛ γωνίαν, τὸ ἄρα ἀπὸ τῆς ΚΛ ὑποτεινούσης τὴν ὀρθὴν γωνίαν ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΚΑ, ΑΛ. πάλιν ἐπεὶ τρίγωνόν ἐστιν ὀρθογώνιον τὸ ΑΜΛ ὀρθὴν ἔχον τὴν ὑπὸ ΑΜΛ γωνίαν, τὸ ἄρα ἀπὸ τῆς ΑΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΜ, ΜΛ. τὸ ἄρα ἀπὸ τῆς ΚΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΚΑ, ΑΜ, ΜΛ. ἀλλὰ τοῖς ἀπὸ τῶν ΚΑ, ΑΜ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΚΜ· τρίγωνον γάρ ἐστιν ὀρθογώνιον τὸ ΚΑΜ ὀρθὴν ἔχον τὴν ὑπὸ ΚΑΜ γωνίαν. τὸ ἄρα ἀπὸ τῆς ΚΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΚΜ, ΜΛ, καὶ διὰ τὸ μη′ τοῦ πρώτου τῶν Στοιχείων ἡ ὑπὸ ΚΜΛ γωνία ὀρθή ἐστιν· ὅπερ ἔδει δεῖξαι.

19. *Μείζων ἄρα καὶ γωνία ἡ ὑπὸ ΜΚΛ κτλ.* p. 162, 9] *ὅτι δὲ ἡ ὑπὸ ΜΚΛ τῆς ὑπὸ ΞΚΝ μείζων ἐστίν, δείξομεν τοῦτον τὸν τρόπον· ἐπεὶ ὀρθογώνιόν ἐστι τρίγωνον τὸ ΚΑΜ ὀρθὴν ἔχον τὴν ὑπὸ ΚΑΜ γωνίαν, ὀξεῖά ἐστιν ἡ ὑπὸ ΚΜΑ· ὥστε ἀμβλεῖα ἡ ὑπὸ ΚΜΞ. ἀμβλυγωνίου οὖν τριγώνου τοῦ ΚΞΜ ἡ ΚΞ*

19. Rq (M¹AFrsu, Vat. m. 2).

9. *ὑπό*] corr. ex *ἀπό* R. *τῆς*] *τοῦ* R. *ΚΛ*] *Κ* e corr. R. 12. *ΑΜΛ* (alt.)] q, *ΜΑΛ* RM. 14. *τῆς*] q, *τοῦ* R. 17. *τῆς*] *τοῦ* R. 18. *ΚΜ*] *ΚΑ* R. 23. *τοῦτον τὸν τρόπον*] Rr; *οὕτως* q. 24. *τρίγωνόν ἐστι* q. 26. *ΚΞΜ*] *ΚΜΞ* q.

ὑποτείνει τὴν πρὸς τῷ M ἀμβλεῖαν γωνίαν· μείζων ἄρα ἡ $K\Xi$ τῆς KM. ἐπεὶ οὖν τρίγωνά εἰσιν ὀρθογώνια τὰ $K\Xi N$, $KM\Lambda$ ὀρθὰς ἔχοντα τὰς πρὸς τοῖς Ξ, M γωνίας, τὸ ἄρα ἀπὸ τῆς KN ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν $K\Xi$, ΞN, ὁμοίως καὶ τὸ ἀπὸ τῆς $K\Lambda$ ἴσον τοῖς ἀπὸ τῶν KM, $M\Lambda$. καί ἐστι τὰ ἀπὸ τῶν $K\Xi$, ΞN μείζονα τῶν ἀπὸ τῶν KM, $M\Lambda$· ἡ γὰρ ΞN τῇ $M\Lambda$ ἴση ἐστὶν ὡς παραλληλογράμμου τοῦ MN οὖσα ἀπεναντίον, ἡ δὲ $K\Xi$ τῆς KM μείζων. καὶ τὸ ἄρα ἀπὸ τῆς KN τοῦ ἀπὸ τῆς $K\Lambda$ μεῖζον· ὥστε καὶ ἡ KN τῆς $K\Lambda$ μείζων. ἐδείχθη δὲ καὶ ἡ $K\Xi$ τῆς KM μείζων· ἴση δὲ ἡ ΞN τῇ $M\Lambda$· ἐὰν ἄρα τὴν $M\Lambda$ ἐπὶ τὴν ΞN ἐφαρμόσωμεν, ἐντὸς πεσεῖται τὸ $KM\Lambda$ τρίγωνον τοῦ $K\Xi N$ τριγώνου, καὶ διὰ τὸ κα' τοῦ α' τῶν Στοιχείων μείζων ἔσται ἡ ὑπὸ $MK\Lambda$ τῆς ὑπὸ ΞKN· ὅπερ ἔδει δεῖξαι.

Ad prop. VII.

20. Γεγράφθω γὰρ περὶ τὸ τρίγωνον κύκλος, καὶ ἐκβεβλήσθωσαν αἱ $K\Delta$, $K\Gamma$ ἐπ' εὐθείας ἐπὶ τὰ N, Ξ. καὶ ἐπεὶ ἀμβλεῖα δείκνυται ἡ ὑπὸ $Z\Delta N$ ὡς ἐκτὸς οὖσα, ἡ ἄρα ἀπὸ τοῦ Δ τῇ $Z\Delta$ πρὸς ὀρθὰς ἀγομένη ἔσται ὡς ἡ $\Delta\Lambda$. πάλιν ἐπεὶ ἀμβλεῖα δείκνυται ἡ Γ ὡς ἐκτὸς



20. V (Vat. q, p in textu post prop. VII); alia demonstratio est prop. VII; cfr. opt. uet.

5. ἴσον ἐστὶ τοῖς q. 6. καί — 7. KM, $M\Lambda$] om. q. 7. ΞN] ΞM q. 10. μείζων q. 13. ἐντὸς πεσεῖται] ἐμπεσεῖται q. 18. γάρ] om. p. κύκλος] κύκλο V, corr. m. rec. 23. ὀρθάς] comp. m. rec. V, ut p. 259, 1.

οὖσα, ἡ ἄρα ἀπὸ τοῦ Γ πρὸς ὀρθὰς ἀγομένη ἔσται ὡς ἡ ΓΜ. τούτων δὲ οὕτως ἐχόντων δειχθήσεται ἡ ΖΛΝ περιφέρεια μείζων τῆς ΞΒ περιφερείας ἐκ τοῦ παρακειμένου λήμματος τοῦ ἐν τῷ δ' θεωρήματι τοῦ γ' βιβλίου τῶν Σφαιρικῶν· ἴσας γὰρ περιφερείας ἀφαιροῦσιν αἱ κάθετοι. ὥστε καὶ γωνία ἡ Σ μείζων ἐστὶ τῆς Φ. ὥστε καὶ ἡ ΖΔ μείζων φανήσεται τῆς ΓΒ.

21. Τὸ αὐτὸ θεώρημα ἔν τισι τῶν ἀντιγράφων εὕρηται οὕτως· τὰ ἴσα μεγέθη ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντα καὶ μὴ ἐφεξῆς ἀλλήλοις κείμενα ἄνισον διεστηκότα τοῦ ὄμματος ἄνισα φαίνεται.

ἔστωσαν δύο μεγέθη τὰ ΑΒ, ΓΔ ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΔ μὴ ἐφεξῆς ἀλλήλοις ὄντα καὶ ἄνισον διεστηκότα ἀπὸ τοῦ ὄμματος τοῦ Ε, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΑ, ΕΔ, καὶ ἔστω μείζων ἡ ΕΑ τῆς ΕΔ, καὶ ὀρθὴ ἡ ὑπὸ ΕΔΑ. λέγω, ὅτι ἡ ΓΔ τῆς ΑΒ μείζων φανήσεται. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΒ, ΕΓ, καὶ περιγεγράφθω περὶ τὸ ΑΕΔ κύκλος ὁ ΑΕΔ, καὶ προσεκβεβλήσθωσαν αἱ ΕΒ, ΕΓ εὐθεῖαι ἐπὶ τὰ Ζ, Η, καὶ ἀνεστάτωσαν ἀπὸ τῶν Β, Γ σημείων ταῖς ΑΒ, ΓΔ πρὸς ὀρθὰς γωνίας αἱ ΒΘ, ΓΚ. ἐπεὶ οὖν αἱ ΑΒ, ΓΔ ἴσαι εἰσίν, ἀλλὰ καὶ αἱ ΒΘ, ΓΚ, ὡς δείξομεν, καὶ γωνία ἡ ὑπὸ ΑΒΘ γωνίᾳ τῇ ὑπὸ ΔΓΚ ἐστιν ἴση,

21. q, similiter M¹RFu (τὸ η' ἄλλως M¹); est opt. uet. prop. VII.

4. λήματος V, corr. m. rec. Pro 8—11 M¹Ru: ἔν τισι τῶν ἀντιγράφων (μετὰ τὴν πρότασιν add. Ru) ἔχει ἡ τοῦ θεωρήματος ἔκθεσις καὶ δείξις οὕτως (οὕτω Ru); iid. codd. ad πορρωτέρω . . . τεθέντα add. γρ. καὶ (om. Ru) μὴ ἐφεξῆς ἀλλήλοις τεθέντα καὶ ἄνισον διεστηκότα τοῦ ὄμματος ἄνισα φαίνεται.
12. ἔστω δύο ἴσα MRFu. 19. αἱ — Η] ταῖς ΕΒ, ΕΓ εὐθείαις εὐθεῖαι αἱ ΒΖ, ΓΗ MRFu. 22. εἰσί q. 23. ἡ] τῇ MRFu. ΔΓΚ] ΑΓΗ Fu. ἐστιν] om. MRFu.

καὶ βάσις ἄρα ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Θ τῇ ἀπὸ τοῦ Δ ἐπὶ τὸ Κ ἴση ἐστίν· ὥστε καὶ περιφέρεια ἡ ΑΖΘ περιφερείᾳ τῇ ΚΔ ἐστιν ἴση. ἡ ΚΔ ἄρα περιφέρεια τῆς ΑΖ μείζων ἐστίν. πολλῷ ἄρα μείζων τῆς ΑΖ ἡ ΗΚΔ. ἀλλ' ἐπὶ μὲν τῆς ΑΖ βέβηκεν ἡ ὑπὸ ΑΕΖ γωνία, ἐπὶ δὲ τῆς ΗΚΔ περιφερείας βέβηκεν ἡ ὑπὸ ΗΕΔ γωνία· γωνία ἄρα ἡ ὑπὸ ΗΕΔ τῆς ὑπὸ ΑΕΖ μείζων ἐστίν. ἀλλ' ὑπὸ μὲν τῆς ὑπὸ ΑΕΖ ἡ ΑΒ εὐθεῖα ὁρᾶται, ὑπὸ δὲ τῆς ὑπὸ ΗΕΔ ἡ ΓΔ· μείζων ἄρα ὁρᾶται ἡ ΓΔ τῆς ΑΒ.

ὅτι δὲ ἡ ΒΘ ἴση ἐστὶ τῇ ΓΚ, δείξομεν οὕτως· ἐπεὶ ἡ ΑΒ τῇ ΓΔ ἴση ἐστί, καὶ κάθετοι ἐπὶ τὴν ΑΔ αἱ ΘΒ, ΓΚ, παράλληλοί εἰσιν αἱ ΒΘ, ΓΚ εὐθεῖαι· προσεκβληθεῖσαι παράλληλοι ἔσονται. προσεκβεβλήσθωσαν καὶ ἔστωσαν αἱ ΘΟ, ΚΠ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου καὶ ἔστω τὸ Ρ, καὶ ἀπὸ τοῦ Ρ ἐπὶ μὲν τὰς ΘΟ, ΚΠ κάθετοι ἤχθωσαν αἱ ΡΝ, ΡΞ, ἐπὶ δὲ τὴν ΑΔ πρὸς ὀρθὰς ἡ ΡΣ. ἡ ΡΣ ἄρα δίχα τὴν ΑΔ κατὰ τὸ Σ τεμεῖ. ἀλλὰ καὶ ἡ ΑΒ τῇ ΓΔ ὑπόκειται ἴση· καὶ λοιπὴ ἄρα ἡ ΒΣ τῇ ΣΓ ἴση ἐστίν. ἀλλὰ καὶ ἡ ΒΣ τῇ ΝΡ ἴση ἐστίν, καὶ ἡ ΣΓ τῇ ΡΞ ἴση

1. ἀπό (pr.)] corr. ex ὑπό R. 3. ἴση ἐστίν MRFu. ἡ] τῇ Fu. 4. τῆς (pr.)] hinc fol. eodem uerso F, add. τοῦ Θ. ἐστί Fu. 7. ΗΕΔ (alt.)] ΗΒΔ Fu. 8. ὑπό (alt.)] om. MFu. 9. ὑπό (pr.)] ἐπί Ru. ὑπό (alt.)] om. M. ΓΔ ΓΔ εὐθεῖα MRFu. 10. ὁρᾶται] om. MRFu. ΑΒ] ΑΕ ὁρᾶται MRFu. 11. ἐστί] om. MRFu. 12. ἐστί] om. MRFu. 13. ΓΚ (pr.)] ΚΓ M, et corr. ex ΓΔ u. εἰσι q. ΓΚ (alt.)] ΚΓ MRFu. 14. προσεκβληθεῖσαι — 18. δίχα] διήχθω πάλιν διὰ τοῦ κέντρου τοῦ Ρ πρὸς ὀρθὰς τῇ ΑΔ ἡ ΡΣ, καὶ δίχα ἄρα MRFu. 19. ἀπόκειται u. 21. καί (pr.)] om. u. ἐστίν] om. MRFu. ἴση ἐστίν (alt.)] παραλληλόγραμμα γὰρ τὰ ΒΡ, ΡΓ καὶ ἡ ΝΡ ἄρα τῇ ΝΞ ἴση MRFu.

ἐστίν. καί εἰσι πρὸς ὀρθὰς ταῖς ΘΟ, ΚΠ· αἱ ΘΟ, ΚΠ ἄρα ἴσον ἀπέχουσιν ἀπὸ τοῦ Ρ, καὶ διὰ τοῦτο καί εἰσιν ἴσαι. ὥστε καὶ αἱ ἡμίσειαι αὐτῶν αἱ ΘΝ, ΚΞ ἴσαι εἰσίν, ὧν αἱ ΒΝ, ΓΞ ἴσαι· καὶ λοιπαὶ ἄρα αἱ ΘΒ, ΚΓ ἴσαι εἰσίν.

Ad prop. VIII.

22. *Ἐν τῷ ια' θεωρήματι τοῦ γ' βιβλίου τῶν Σφαιρικῶν εὑρήσεις ἔξωθεν σχόλιον, ὃ συμβαλεῖταί σοι εἰς τὴν παροῦσαν δεῖξιν.*

23. *Ἴση δὲ ἡ ΔΖ τῇ ΒΓ· ὡς ἄρα ἡ ΒΓ πρὸς ΘΖ, οὕτως ἡ ὑπὸ ΔΚΖ γωνία πρὸς τὴν ὑπὸ ΒΚΓ γωνίαν. ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΘΖ, οὕτως ἡ ΚΓ πρὸς ΚΖ διὰ τὸ τριγώνου τοῦ ΚΒΓ παρὰ μίαν τῶν πλευρῶν ἦχθαι τὴν ΘΖ καὶ ἰσογώνια εἶναι τὰ τρίγωνα.*

24. *Ὑπερπεσεῖται τὴν ΚΖ* p. 164, 12] *ὡς ἀπὸ μείζονος διαστήματος γραφόμενος, ὅπερ ἐστὶν ἡ ΘΚ· μείζων γὰρ αὕτη τῆς ΚΖ· ὥστε ὑπερπεσεῖται τὴν ΚΖ ὡς ἐλάσσονα τῆς ΚΘ.*

25. *Οὕτως ἡ ΓΚ* p. 164, 25] *διὰ τὸ ἰσογώνιον εἶναι τὸ ΒΓΚ τῷ ΘΖΚ καὶ ἔχειν ἀνάλογον τὰς πλευράς, ὡς τὴν ΒΓ πρὸς τὴν ΓΚ, τὴν ΘΖ πρὸς τὴν ΖΚ.*

---

22. V[1]q (ad Sphaericorum Theodosii III, 11 in iisdem codd. in mg. exteriore legitur lemma hoc: *ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ, καὶ ἤχθω τις ἡ ΑΔ. δεῖξαι, ὅτι ἡ ΒΓ πρὸς τὴν ΒΔ μείζονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ ΑΔΒ γωνία πρὸς τὴν ΑΓΒ*). 23. VVat.F(pquR). 24. q. 25. v[1].

---

1. *αἱ* — 2. *ἴσον*] *ὡς δέδεικται· ἴσον ἄρα* MRFu. 2. *διά*] *περί* MRFu. 3. *ἴσαι εἰσίν* MRFu. 4. *ΒΝ*] e corr. Ru. 11. *ΘΖ*] *τὴν ΘΖ* p. *ΔΚΖ*] e corr. q, *ΚΔΖ* Vp; *ΚΔ*, *ΖΔ* RFu et eras. pr. *Δ* Vat. 12. *γωνίαν*] om. p. 13. *ΚΖ*] *τὴν ΚΖ* p. 14. *εἶναι*] *ἐστι* p.

ὥστε καὶ ἐναλλάξ, ὡς τὴν ΒΓ πρὸς τὴν ΘΖ, τὴν ΓΚ πρὸς τὴν ΖΚ. ἀλλ' ὡς ἡ ΒΓ πρὸς τὴν ΘΖ, καὶ ἡ ΔΖ πρὸς τὴν ΘΖ· ἴση γὰρ ἡ ΔΖ τῇ ΒΓ. ὡς ἄρα ἡ ΔΖ πρὸς τὴν ΘΖ, οὕτως ἡ ΓΚ πρὸς τὴν ΚΖ.

26. Ὡς γὰρ αἱ γωνίαι, δι' ὧν ὁρῶνται τὰ ὁρώμενα, ἔχουσι πρὸς ἀλλήλας, οὕτως καὶ τὰ ὁρώμενα διὰ τῶν γωνιῶν πρὸς ἄλληλα ἔχειν φαίνονται. ὡς ἄρα λοιπὸν ἡ ΣΡ γωνία ἔχει πρὸς τὴν Ρ γωνίαν, οὕτως ἔχειν φαίνεται καὶ τὸ ΔΖ πρὸς τὸ ΒΓ. ἡ δὲ γωνία ἡ ΣΡ πρὸς τὴν Ρ γωνίαν ἐλάττονα λόγον ἔχει ἤπερ τὸ ἀπόστημα τὸ ΚΓ πρὸς τὸ ΚΖ. καὶ τὸ ΔΖ ἄρα πρὸς τὸ ΒΓ μικρότερον φαίνεται παρὰ τὸ ΚΓ πρὸς τὸ ΚΖ.

Ad prop. X.

27. Ἤχθω γὰρ διὰ τοῦ Η σημείου τῇ ΒΚ παράλληλος ἡ ΗΕ. ἐπεὶ οὖν αἱ ὄψεις πρότερον πρὸς τὴν ΗΕ προσπίπτουσιν κατὰ τὰ Η, Λ, Μ σημεῖα ἤπερ πρὸς τὴν ΚΓ, καί ἐστι μετεωρότερον τὸ Η τοῦ Λ, τὸ δὲ Λ τοῦ Μ, καὶ διὰ μὲν τοῦ Η σημείου ἡ ΒΗΓ φέρεται ἀκτίς, διὰ δὲ τοῦ Λ ἡ ΒΛΖ, διὰ δὲ τοῦ Μ ἡ ΒΜΔ, μετεωροτέρα ἡ μὲν ΒΓ τῆς ΒΖ, ἡ δὲ ΒΖ τῆς ΒΔ.

28. Τὸ ι' ἐν ἄλλῳ οὕτως· ἔστω γὰρ ὄμμα τὸ Β ἄνω τοῦ ΓΚ ἐπιπέδου κείμενον, ἀφ' οὗ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΒΓ, ΒΔ, ΒΖ, ΒΚ, ὧν ἡ ΒΚ κάθετος ἔστω ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον. λέγω, ὅτι τὸ ΓΔ τοῦ ΔΖ μετεωρότερον φαίνεται, τὸ δὲ ΔΖ

26. MVat.[1] Ru(F). 27. VVat.(q). 28. q.

7. λοιπόν] λόγον Vat.[1]. 9. ἡ (pr.)] εἰ Vat.[1]. 10. Ρ] Ο u. ἤπερ] εἴπερ Vat.[1]. 12. ΚΖ] ΔΖ u. 15. τήν] ·/· V.

τοῦ ΖΚ. εἰλήφθω γὰρ ἐπὶ τῆς ΖΚ τυχὸν σημεῖον τὸ Ε, καὶ ἤχθω πρὸς ὀρθὰς τῇ ΖΚ ἡ ΕΗ. καὶ ἐπεὶ αἱ ὄψεις πρότερον πρὸς τὴν ΗΕ προσπίπτουσιν ἤπερ πρὸς τὴν ΕΓ, προσπιπτέτω τῇ ΗΕ ἡ μὲν ΒΓ κατὰ τὸ Η σημεῖον, ἡ δὲ ΒΔ κατὰ τὸ Δ, ἡ δὲ ΒΖ κατὰ τὸ Μ. ἐπεὶ οὖν τὸ Η τοῦ Δ μετεωρότερόν ἐστι, τὸ δὲ Δ τοῦ Μ, ἀλλ' ἐν ᾧ ἐστι τὸ Η, ἐν τούτῳ τὸ Γ, ἐν ᾧ δὲ τὸ Δ, ἐν τούτῳ τὸ Δ, ἐν ᾧ δὲ τὸ Μ, ἐν τούτῳ τὸ Ζ, διὰ δὲ τῶν ΒΓ, ΒΔ ἡ ΔΓ φαίνεται, διὰ δὲ τῶν ΒΔ, ΒΖ ἡ ΖΔ, διὰ δὲ τῶν ΒΖ, ΒΚ ἡ ΚΖ, οὐκοῦν ἡ μὲν ΓΔ τῆς ΔΖ μετεωροτέρα φαίνεται, ἡ δὲ ΔΖ τῆς ΖΚ· τὰ γὰρ ὑπὸ μετεωροτέρων ἀκτίνων ὁρώμενα μετεωρότερα φαίνεται. τῶν ἄρα κάτω τοῦ ὄμματος κειμένων καὶ τὰ ἑξῆς.

Ad prop. XI.

29. *Πάλιν ἐὰν ἀγάγῃς παράλληλον εὐθεῖαν διὰ τοῦ Γ, φανερὸν ἔσται ἀπὸ τῶν σημείων.*

Ad prop. XII.

30. *Τοῦτο ὡς ἀπὸ τοῦ ϛ' φανερώτερον γίνεται.*

Ad prop. XIV.

31. *Ἀντίστροφον· ἐκεῖ μὲν γὰρ ὑπὸ τοῦ ὄμματος ἐτέθη τὰ μεγέθη, νῦν δὲ ἄνω τοῦ ὄμματος.*

Ad prop. XVI.

32. *Ἀντίστροφον, ὡς εἰ νοηθείη τὸ σχῆμα μετατιθέμενον ἄνω κάτω.*

29. V Vat. q. 30. V Vat. q. 31. V^1. 32. V^1.

4. ΒΓ] Β e corr. q. 21. ὑπό] ὑπότερον? V^1.

Ad prop. XIX.

33. *Ἐπὶ τὸ Β πέρας* p. 176, 16] *μετακινουμένου δηλονότι ἢ τοῦ ἐνόπτρου ἢ τοῦ ὁρῶντος· οὐ γὰρ κατὰ πρώτην τυχὸν ἐπιβολὴν τῆς ὄψεως κατ' ἔμφασιν ὁρα-*
5 *θήσεται παρὰ τῆς ὄψεως ἐν τῷ κατόπτρῳ τὸ ἄκρον τοῦ ὕψους.*

34. *Οὕτως γὰρ ἐνορῶμεν τῷ ἐσόπτρῳ, ἕως οὗ τὸ ἄκρον ἐν αὐτῷ τοῦ δοθέντος μεγέθους ἴδωμεν.*

35. *Ἐν τοῖς Κατοπτρικοῖς* p. 176, 18] *φησὶ γὰρ*
10 *ἐκεῖσε ὁ Εὐκλείδης οὕτως· ἀπὸ τῶν ἐπιπέδων ἐνόπτρων καὶ κυρτῶν καὶ κοίλων αἱ ὄψεις ἐν ἴσαις γωνίαις ἀνακλῶνται.*

ἁρμόζει δὲ αὐτῷ καὶ τὸ ἐν τοῖς ὅροις τῶν Κατοπτρικῶν εἰρημένον· ἐνόπτρου τεθέντος ἐν ἐπιπέδῳ
15 *καὶ τὰ ἑξῆς.*

Ad prop. XXI.

36. *Ἐναρμόζω γὰρ ἐν τῷ μέσῳ διαστήματι τῶν ἀκτίνων μέγεθος ἀεὶ ἐναρμόζων, ἕως οὗ διὰ τῶν ἄκρων αὐτοῦ ἴδω τὰ ἄκρα τοῦ δοθέντος μεγέθους.*

20

Ad prop. XXII.

37. *Οὐδὲ γὰρ ἅμα βλέπει ὅλον, ἵνα συναίσθηται ὡς περιφεροῦς τοῦ ὁρωμένου.*

---

33. Vat. m. 2, rs. 34. V Vat. R F p (q r s t u). 35. V^2. 36. V Vat. p r (q). 37. R F, Vat. m. 2, u (t).

---

5. *παρά*] *περί* r. *τὸ ἄκρον*] r, om. Vat. s. 6. *ὕψους*] *ὄψεως* r. 7. *σχόλιον* add. p. *οὕτως*] *οὕτω* p t R. *ἐσόπτρῳ*] *κατόπτρῳ* p. 8. *ἐν*] corr. ex *ἐ* m. 2 V. *εἴδωμεν* V. 18. *ἀεί*] om. Vat. r. *ἐναρμόζων*] om. r, lac. relicta. 19. *εἴδω* V. 21. *ὅλον*] *ὡς* F, om. Vat. 22. *περιφεροῦς*] *περιφερείας* Vat.

38. *Ἐὰν ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἐν ᾧ καὶ τὸ ὄμμα, κύκλου περιφέρεια τεθῇ, ἡ τοῦ κύκλου περιφέρεια εὐθεῖα γραμμὴ φαίνεται.*

ἔστω κύκλου περιφέρεια ἡ ΓΒ ἐν τῷ αὐτῷ ἐπιπέδῳ κειμένη, ἐν ᾧ καὶ τὸ ὄμμα τὸ Α, ἀφ' οὗ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΑΒ, ΑΔ, ΑΕ, ΑΖ, ΑΗ, ΑΘ, ΑΓ. λέγω, ὅτι ἡ ΒΓ κύκλου περιφέρεια εὐθεῖα φαίνεται. κείσθω τῆς περιφερείας τὸ κέντρον καὶ ἔστω



τὸ Κ, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΚΒ, ΚΔ, ΚΕ, ΚΖ, ΚΗ, ΚΘ, ΚΓ. ἐπεὶ οὖν ἡ ΚΒ εὐθεῖα ὑπὸ τῆς ὑπὸ ΚΑΒ γωνίας ὁρᾶται, ἡ δὲ ΚΔ ὑπὸ τῆς ὑπὸ ΚΑΔ, ἡ δὲ ΚΕ ὑπὸ τῆς ὑπὸ ΚΑΕ, μείζων ἄρα φανήσεται ἡ μὲν ΚΒ τῆς ΚΔ, ἡ δὲ ΚΔ τῆς ΚΕ. ὁμοίως καὶ ἐκ τοῦ ἑτέρου μέρους ἡ μὲν ΚΓ μείζων φανήσεται τῆς ΚΘ, ἡ δὲ ΚΘ τῆς ΚΗ. ἐπεὶ οὖν τὸ αὐτὸ συμβαίνει, ὅπερ ἂν καί, εἰ εὐθεῖα ὑπέκειτο ἡ περιφέρεια ἡ ΒΓ, συνέβαινε, τὸ τὰς ἴσας δηλαδὴ ἀνίσους φαί-

38. MR(F, Vat. m. 2, Aqu).

1. ἄλλως τοῦ κγ' ἡ δεῖξις M, ἄλλως τὸ κβ' q. ἐάν] ἐὰν γάρ Vat. 1—3. om. Aq. 2. ἡ — 4. κύκλου] m. rec. M. 8. κείσθω] εἰλήφθω q. 16. εἰ] q, om. MR. ἡ ΒΓ περιφέρεια q. περιφέρεια] γωνία MFR.

νεσθαι καὶ μείζονα τὴν πορρωτέρω εὐθεῖαν παρὰ τὴν ἐφεξῆς, εὐθεῖα διὰ τοῦτο ἡ ΒΖΓ φαντάζεται περιφέρεια.

δυνατὸν δὲ τοῦτο δείκνυσθαι καὶ ἐπὶ τῆς κοίλης περιφερείας. εἰ γὰρ τὸ Κ ὑποτεθείη τὸ ὄμμα καὶ σημεῖον τυχὸν τὸ Α ἐκτὸς τῆς τοῦ κύκλου περιφερείας, εἶτα ἀπὸ τοῦ Α πρὸς τὴν κυρτὴν περιφέρειαν τοῦ κύκλου εὐθεῖαι αἱ ΑΒ, ΑΔ, ΑΕ, ΑΖ, ΑΗ, ΑΘ, ΑΓ καὶ ἀκτῖνες ἀπὸ τοῦ Κ ὄμματος ἐπὶ τὰ Β, Δ, Ε, Ζ, Η, Θ, Γ σημεῖα, τῶν πρὸς τὴν κυρτὴν οὖν περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη καὶ κατὰ φαντασίαν ὡς καὶ κατὰ ἀλήθειαν ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου ὁραθήσεται, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερον ἐλάττων ὁρᾶται, ὃ δὴ συμβαῖνον ὁρᾶται, καὶ εἴπερ ἡ ΒΖΓ περιφέρεια εὐθεῖα ὑποτεθείη καὶ κάθετος ἐπ' αὐτὴν ἡ ΑΖ· ὅθεν διὰ τοῦτο καὶ φαντασίαν εὐθείας ἀποστελεῖ ἡ περιφέρεια, καὶ μάλιστα εἰ ἀπὸ πλείονος φαίνοιτο διαστήματος, ὥστε μὴ συναισθάνεσθαι ἡμᾶς τῆς κυρτότητος.

διὰ τοῦτο καὶ οἱ μὴ πάντως ἀποτεταμένοι κάλοι ἐκ πλαγίου μὲν ὁρώμενοι ἀσχάλασμα ἔχειν δοκοῦσιν, ὑποκάτωθεν δὲ εὐθεῖς εἶναι, καὶ αἱ σκιαὶ δὲ τῶν κρίκων ἐν τῷ αὐτῷ ἐπιπέδῳ κειμένων, ἐν ᾧ καὶ τὸ ὄμμα, εὐθεῖαι φαίνονται.

---

1. καί — πορρωτέρω] om. lac. rel. Vat. τήν (alt.) — 2. διά] q, τῆς ἐφ' ἧς τὸ (dein. ras. M, spat. 2 litt. R) ἐστι MFRu. 6. τῆς περιφερείας τοῦ κύκλου MR. 9. τά] supra scr. R. Β] corr. ex Κ R. 10. τῶν] hinc etiam r. οὖν] q, om. MR. 11. καί] om. r. 15. ὅ — ὁρᾶται] postea ins. q. 16. περιφέρεια] γωνία R, om. M, γωνία τοῦ κύκλου r. 21—25. om. A. 22. Scr. ἐγχάλασμα.

Ad prop. XXIII.

39. *Ποιήσει δή* p. 180, 22] *διὰ τὸ πρῶτον τῶν Σφαιρικῶν.*

40. *Ἐφάψονται αἱ ΒΛ, ΒΖ* p. 182, 2] *ἔσχαται οὖσαι αἱ ἀκτῖνες τῶν ὁρώντων τὴν σφαῖραν.*

41. *Καὶ ἐπεὶ ἑκάστη κτλ.* p. 182, 5] *ἑκάστην τῶν πρὸς τῷ Θ γωνιῶν ὀρθὴν συνάξουσιν εἶναι ἄλλοι μὲν ἴσως ἄλλως, ἐγὼ δὲ τοῦτον τὸν τρόπον. ἐπεὶ ἕκαστον τῶν ΚΖΒ, ΚΛΒ ἡμικύκλιόν ἐστιν, ἡ ΚΖΒ περιφέρεια ἴση ἐστὶ τῇ ΚΛΒ περιφερείᾳ, ὧν ἡ ΚΖ ἴση τῇ ΚΛ· ἴσαι γὰρ εὐθεῖαι αἱ ΚΖ, ΚΛ ἐκ τοῦ κέντρου οὖσαι τοῦ ΖΓΛ κύκλου ὑποτείνουσιν αὐτάς· λοιπὴ ἄρα ἡ ΖΒ περιφέρεια τῇ ΛΒ περιφερείᾳ ἴση ἐστίν. ὥστε καὶ εὐθεῖα ἡ ΖΒ τῇ ΒΛ ἴση ἐστίν. ἐπεὶ οὖν δύο τρίγωνά ἐστι τὰ ΚΖΒ, ΚΛΒ τὰς δύο πλευρὰς τὰς ΖΚ, ΚΒ ταῖς δύο πλευραῖς ταῖς ΛΚ, ΚΒ ἴσας ἔχοντα καὶ τὴν βάσιν τὴν ΖΒ τῇ βάσει τῇ ΛΒ ἴσην, καὶ τὴν γωνίαν τὴν ὑπὸ ΖΚΒ τῇ γωνίᾳ τῇ ὑπὸ ΛΚΒ ἴσην ἕξει. πάλιν ἐπεὶ δύο τρίγωνα τὰ ΖΚΘ, ΛΚΘ τὰς δύο πλευρὰς τάς ΖΚ, ΚΘ ταῖς δύο πλευραῖς ταῖς ΛΚ, ΚΘ ἴσας ἔχοντα καὶ τὴν γωνίαν τῇ γωνίᾳ, καὶ τὴν βάσιν τὴν ΖΘ βάσει τῇ ΘΛ ἴσην ἕξει. καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΚΒ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΖΛ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ.*

39. VVat.u. 40. VVat.RF. 41. MR(Vat. m. 2, Frs).

5. *αἱ ἀκτῖνες*] om. R. 8. *τόν*] RF, om. MVat. 9. *ΚΛΒ*] *ΚΖΛ* MR. 10. *ἴση — περιφερείᾳ*] R, om. V. 17. *καί* (pr.)] *μέν* M. 23. *κέντρου*] *Κ* RF. 24. *κέντρου*] $\bar{\kappa}$ s. *ΖΛ*] *ΛΖ* s. 25. *τέμνη* r.

42. *Διὰ τὸ παράλληλον* p. 182, 6] *παράλληλος διὰ τοῦ κη' τοῦ α' τῶν Στοιχείων.*

43. *Ἅπερ ἐξ ἀνάγκης φυσικῆς ἐπὶ τῶν ὁρωμένων γίνεται, ταῦτα καὶ δι' ἀποδείξεων πιστώσασθαι βουλόμενος ὁ γεωμέτρης τῶν θεωρημάτων παραμυθίας ἀπὸ τῶν γραμμῶν κομίζει κύκλους ἀναγράφων ἐν ταῖς ἀπὸ τῶν ὁμμάτων ἀποπεμπομέναις ἀκτῖσιν καὶ ἐπίπεδα διὰ τῶν ὄψεων ἐκβάλλων καὶ ἕτερα τοιαῦτα ποιῶν, οὐχ ὅτι, ταῦτα μὲν ἐὰν γένηται, ἔσται ἀληθὴς ἡ τοιάδε αὐτοῦ πρότασις, καὶ καθ' ὃν αὐτός φησι τρόπον θεωρήσουσι τὸ τοιόνδε σχῆμα αἱ ὄψεις, ἐὰν δὲ μὴ γένηται, ψευδής· ἢ γὰρ ἄν, εἰ τοῦτο οὕτως εἶχεν, ἐν τῇ πιθανότητι τῶν ἀποδείξεων ἔκειτο ἂν ἡ τούτων εὕρεσις μόνον, ἀλλ' οὐκ ἐν τῇ φύσει τῶν ὁρωμένων, καὶ γραφομένων μὲν τῶν κύκλων ἢ τῶν ἐπιπέδων ἐκβαλλομένων ἑωρᾶτο ἂν τὸ ὁρώμενον, ὡς ὁ Εὐκλείδης φησίν, μὴ γινομένων δὲ τούτων οὐκ ἂν ἐθεωρεῖτο τοιοῦτον, ὡς εἶναι μᾶλλον αὐτὸ διὰ τὴν ἀπόδειξιν οὕτως ἔχον ἢ διὰ τὴν φύσιν. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ ὅπερ ἐξ ἀνάγκης φυσικῆς συμβαίνει πάσχειν ταῖς ὄψεσι προσβαλλούσαις τῷ τοιῷδε σχήματι οἷον κυλινδροειδεῖ ἢ κωνοειδεῖ ἢ σφαιροειδεῖ ἐπὶ πλέον ἀφισταμέναις ἢ προσεγγιζούσαις αὐτῷ, τοῦτο δὴ βουλόμενος ἀποδεικνύειν ὁ γεωμέτρης παραμυθεῖται τὴν ἀπόδειξιν διὰ*

---

42. F Vat. 43. V² ad prop. 24, p in textu inter propp. 23 et 24.

---

1. *παράλληλος*] om. F. 2. *κη' — Στοιχείων*] *κα' τῶν Εὐκλείδου* F. 4. *γίνωνται* p. *βουλόμενος*] *βούλεται* p. 5. *τῶν θεωρημάτων*] supra scr. V. 6. *κομίζων* p. 7. *ἀκτῖσι* p. 13. *τούτων*] *τῶν τοιούτων* p. 20. *προσβαλούσαις* p.

ἐπιπέδων τε καὶ κύκλων καὶ τοιούτων τινῶν, ἵνα κατὰ πάντα σύμφωνον αὐτὴν ποιήσῃ τοῖς ἐν τῇ γεωμετρίᾳ στοιχείοις καὶ παρασκευάσῃ τὸν ἀκροατὴν μετὰ πολλῆς ὅτι μάλιστα ἡδονῆς ἐγκύπτειν τοῖς θεωρήμασιν, ὥσπερ ἀμέλει καὶ ἐπὶ τῆς ἀριθμητικῆς ἔστιν ἰδεῖν αὐτὸν ποιοῦντα καὶ γεωμετρίας καὶ τῶν ἄλλων μαθημάτων. ὅτι μὲν γὰρ δύο τετραγώνων ἀριθμῶν εἷς μέσον ἀνάλογόν ἐστιν ἀριθμός, τοῦτο ἀληθές ἐστιν, ἀλλ' οὐ δεῖ τοῦτο μόνον ἀπ' αὐτῆς εἰδέναι τῆς αἰσθήσεως, ἵν' οὕτως εἴπω, ἀλλὰ καὶ δι' ἀποδείξεως ἀσφαλεστέραν ἔχειν τὴν περὶ αὐτοῦ γνῶσιν. ὁμοίως δὲ καὶ τοῦτο ἀληθές ἐστιν, ὅτι, ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὰς κατὰ κορυφὴν γωνίας ἴσας ἀλλήλαις ποιήσουσιν, καὶ φανερὸν ἀπὸ τῆς αἰσθήσεως, ἀλλ' οὐκ ἀπόχρη πρὸς ἐπιστήμην τὸ οὕτως εἰδέναι μόνον, ἀλλ' ἔχειν τοῦτο ὁμολογούμενον ἔκ τινων προτέρων καὶ γνωριμωτέρων· τοῦτο δέ ἐστιν ἡ ἀπόδειξις. ὁ αὐτὸς τοίνυν λόγος ἐστὶ καὶ ἐπὶ τούτων, ὅτι φυσικῶς ἔχει ἡ ὅρασις οὕτως ὁρᾶν τὰ ὁρώμενα, ὡς ὁ Εὐκλείδης φησίν, ἵνα δὲ καὶ ἐπιστήμην αὐτῶν ἔχωμεν, πρὸς κατάληψιν ἀκριβεστέραν παραλαμβάνονται ἐν ταῖς ἀποδείξεσιν αὐτῶν κύκλοι καὶ ἐπίπεδα καὶ ἄλλα τοιαῦτα.

χρὴ δὲ εἰδέναι, ὡς τοὺς κύκλους καὶ τὰ ἐπίπεδα, ὅταν μὲν ὁρῶμεν αὐτὰ τὰ σώματα οἷον σφαῖραν ἢ κύλινδρον, νοητῶς δεῖ ἀναγράφειν ἢ ἐκβάλλειν, ὅταν δὲ ἐν ἐπιπέδῳ, αἰσθητῶς ὡς ἐνταῦθα.

---

4. ἐγγύπτειν V. 6. μαθηματικῶν p. 7. μέσον] sic Vp. 10. δι'] διά p. 13. ποιήσουσι p. 15. ἀλλ'] ἀλλά p. 24. οἷον — 25. κύλινδρον] ins. ead. man. V.

Ad prop. XXIV.

44. *Αἱ ΡΖ, ΡΣ καθ' ἓν ἐφάπτονται* p. 184, 5] *ἐφάπτονται ἄρα διὰ τὸ ἐν τῷ ιϛ' τοῦ γ' τῶν Στοιχείων πόρισμα.*

Ad prop. XXVI.

45. *Ὀμμάτων διάστημα τὸ ΒΓ* p. 186, 7] *χρὴ δὲ νοεῖν, ὅτι ἡ διάστασις τῶν ὀμμάτων παράλληλός ἐστι τῇ διαμέτρῳ τοῦ κύκλου.*

46. *Τουτέστιν ἐπιζευχθεισῶν ἀπὸ τοῦ Κ ἐπὶ τὰ Β, Γ σημεῖα εὐθειῶν.*

47. *Ἔλασσον ἂν εἴη* p. 186, 16] *εἰ γὰρ τεθείη τὸ ὄμμα ἐπὶ τοῦ Θ, διὰ τὸ κγ' τῶν Ὀπτικῶν ἔλαττον ἡμισφαιρίου ὀφθήσεται ὑπὸ τοῦ ἑνὸς ὄμματος.*

48. *Τὸ ΖΝΔ* p. 186, 16] *τουτέστιν τὸ ὑπὸ τοῦ κύκλου διοριζόμενον τοῦ περὶ τὴν ΔΝΖ.*

Ad prop. XXVIII.

49. *Ὃν τρόπον ἐπὶ τοῦ κγ' καὶ κδ' ἔδειξεν, οὕτως καὶ ἐπὶ τῶν δύο τούτων τοῦ κη' καὶ κθ', πλὴν ἐκεῖ μὲν ἐπὶ σφαίρας, ὧδε δὲ ἐπὶ κυλίνδρου.*

Ad prop. XXX.

50. *Κύκλον ἔχοντος τὴν βάσιν* p. 192, 2] *οὐχί, διότι ἔστι τις κῶνος μὴ ἔχων κύκλον τὴν βάσιν, τοῦτό φησιν, ἀλλὰ τὴν φύσιν τοῦ κώνου παραστῆσαι βουλόμενος.*

---

44. Vat.RFu. 45. Vq. 46. VVat.q; quid sibi uelit, nescio. 47. Vat.RF. 48. VVat.q. 49. V¹q. 50. R (Vat.AFq).

---

3. *ἐν τῷ*] supra scr. R. 14. *τό*] supra scr. m. rec. V. 15. *περί*] comp. V, *παρά* q. *ΔΝΖ*] *ΑΝΖ* VVat.q. 17. *οὕτω* q.

51. *Καὶ ἐπὶ τούτου καὶ τοῦ μετὰ τοῦτο ὁμοία ἡ δεῖξις πλὴν ἐπὶ κώνου.*

Ad prop. XXXII.

52. *Τῷ προϋποκειμένῳ ἐπιπέδῳ* p. 194, 19] *τουτέστι τῇ βάσει τοῦ κώνου.*

53. *Οὐκοῦν συμπεσεῖται* p. 196, 2] *ἐπειδὴ κατὰ τὸ αὐτὸ ἄκρον ἄνω μὲν κατὰ τὸ B, κάτω δὲ κατὰ τὸ K συνάπτονται.*

Ad prop. XXXIII.

54. *Ἔλασσον φαίνεται* p. 196, 22] *γρ. μεῖζον μὲν ἔσται τοῦ κώνου τὸ ὁρώμενον, ἔλαττον δὲ φαίνεται, ταπεινοτέρου δὲ ἔλασσον μὲν ἔσται, δόξει δὲ μεῖζον φαίνεσθαι.*

55. *Τουτέστιν ἵνα ἐπί τινος εὐθείας τὸ ὄμμα ᾖ, ἥτις παράλληλός ἐστι τῇ ἀπὸ τῆς κορυφῆς τοῦ κώνου πρὸς τὴν περιφέρειαν αὐτοῦ ἀγομένῃ εὐθείᾳ.*

56. *Ἴσον δὲ τὸ μὲν πρὸς τῷ N κτλ.* p. 198, 9] *ἐὰν γάρ, καθὼς εἴρηται ἐν τῷ λα΄ θεωρήματι, ἀπὸ τοῦ N ὄμματος προσπέσωσιν ἀκτῖνες πρὸς τὴν τοῦ κώνου περιφέρειαν ὡς αἱ NT, NΦ, καὶ ἀπὸ τῶν T, Φ ἐπὶ τὴν κορυφὴν τὴν Δ ἐπιζευχθῶσιν εὐθεῖαι ὡς αἱ TΔ, ΦΔ, τὸ διὰ τῶν NT, TΔ ἐπίπεδον καὶ τὸ διὰ τῶν NΦ, ΦΔ κοινὴν τομὴν ἕξει τὴν ΔN, ἐφ' ἧς ἐὰν τεθῇ τὸ ὄμμα ὡς κατὰ τὸ N καὶ τὸ Θ, ἴσον ἀεὶ τοῦ*

---

51. V¹. 52. VRVat.u. 53. VRVat.M¹qtu. 54. Vat.RM¹st. 55. VR(Vat.qrstu). 56. VR(Vat.MAqrstu).

---

12. *ταπεινώτερον* Vat.s. *δέ* (pr.)] om. Vat. 14. *ᾖ*] om. V. 15. *παράλληλός*] = R, *ὀρθή* s. 16. *εὐθείᾳ*] om. Rt. 18. *γάρ*] om. Mt. *λα΄*] V, *λγ΄* m. rec. 20. *τῶν*] *τοῦ* R.

κώνου τὸ ὁρώμενον ὀφθήσεται διὰ τὸ λα' θεώρημα· ὁμοίως καὶ ἐπὶ τῆς ΔΣ.

Ad prop. XXXV.

57. *Ὀρθὴ ἂν εἴη* p. 200, 23] *ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΚΔΒ γωνία τῇ ΚΒΔ, ἡ δὲ ΚΖΒ τῇ ΖΒΚ, δύο ἄρα αἱ ΒΔΚ, ΔΖΒ δύο ταῖς ΖΒΚ, ΚΒΔ ἴσαι εἰσίν. ὥστε αἱ τέσσαρες αἱ ΒΖΚ, ΖΔΒ, ΔΒΚ, ΚΒΖ δύο τῶν ΔΒΚ, ΚΒΖ, τουτέστι τῆς ΔΒΖ, διπλασίονές εἰσιν. ἀλλὰ αἱ τέσσαρες δύο ὀρθαῖς ἴσαι εἰσίν· ἐν τῷ τριγώνῳ γάρ εἰσι τῷ ΔΖΒ. ὥστε ἡ ΔΒΖ γωνία ὀρθή ἐστιν.*

58. *Ἐπεὶ γὰρ αἱ τρεῖς ἴσαι εἰσὶν αἱ ΔΚ, ΚΖ, ΚΒ, ὁ ἄρα κέντρῳ τῷ Κ, διαστήματι δὲ τῷ ΚΔ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν Β, Ζ. ὥστε ὀρθὴ ἡ ὑπὸ ΔΒΖ· ἐν ἡμικυκλίῳ γάρ.*

59. *δ̄ γάρ εἰσιν ὡς τῆς ὑπὸ ΔΒΖ διαιρουμένης· ἐπεὶ ὡς ἐν τριγώνῳ τρεῖς εἰσιν. διὰ τοῦτο καὶ δύο ὀρθαῖς ἴσαι· ὥστε ἡ ὑπὸ ΔΒΖ ὀρθή ἐστι, διότι δ̄ ἐφάνησαν ἐν τῷ τριγώνῳ, καὶ αὕτη ὡς δὶς λαμβανομένη ὀρθή ἐστιν.*

60. *Αἱ διάμετροι ἴσαι* p. 202, 5] *δῆλον δέ, ὅτι οὐ πᾶσαι πάσαις αἱ διάμετροι ἴσαι φανήσονται, ἀλλὰ*

---

57. VR(Vat.MFAqrstu). 58. VR(Vat.MFqrtu); eodem pertinet, quo nr. 57. 59. V[1] (ad *τέσσαρες* lin. 7). 60. V(Vat.pqr).

---

1. *διά — θεώρημα*] om. A. *λα'*] mut. in *λβ'* m. rec. V. 2. *ὁμοίως — ΔΣ*] om. s. 5. *ΚΒΔ*] *ΚΒΓ* V, *ΚΔΒ* R. 6. *ΔΖΒ*] *Δ* supra scr. V. *ΚΒΔ* — 11. *ἐστιν*] om. A. 12. *γάρ*] om. t. Post *ἴσαι* ras. 2 litt. V. 14. *τῶν*] *τοῦ* R. 15. *ΔΒΖ*] *Δ* Ζ dirempt. spat. 1 litt. R. 22. *πάσαις αἱ*] in ras. V.

μία μιᾷ, οἷον τῇ ΕΓ ἡ ΔΒ· αὕτη γὰρ μόνη δύναται ἴσας γωνίας περιέχειν μετὰ τῆς ΑΖ ταῖς περιεχομέναις ὑπὸ τῆς ΑΖ καὶ ΕΓ· τοῦτο δὲ διὰ τὸ μὴ εἶναι πρὸς ὀρθὰς τῷ ὑποκειμένῳ ἐπιπέδῳ τὴν ΖΑ.

Ad prop. XXXVI.

61. Διήχθω γάρ p. 204, 17] μὴ πρὸς ὀρθὰς οὖσα δηλονότι τῇ ΓΑ.

62. Ἡ ΓΖ p. 204, 19] οὖσα δηλονότι τοῦ κύκλου.

63. Λῆμμα.

πῶς δὲ χρὴ πρὸς ὀρθὰς ἀγαγεῖν τῇ κεκλιμένῃ εὐθείᾳ πρὸς τὸ ἐπίπεδον μίαν εὐθεῖαν ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ; οὐ γὰρ καὶ ἑτέραν δυνατόν· ὑποκείσθω γὰρ τὸ σχῆμα, καὶ ἀπὸ τοῦ Β ἐπὶ τὸ ἐπίπεδον κάθετος ἤχθω ἡ ΒΛ, καὶ ἐπεζεύχθω ἡ ΑΛ. φανερόν, ὅτι ἡ ΑΛ ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ ἐστίν. ἤχθω οὖν ἀπὸ τοῦ Α τῇ ΑΛ πρὸς ὀρθὰς ἡ ΑΜ· ἥξει δὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἐν ᾧ καὶ ἡ ΑΛ, τουτέστιν ἐν τῷ κύκλῳ. ἐπεὶ οὖν ἡ ΒΛ ὀρθή ἐστι πρὸς τὸ τοῦ κύκλου ἐπίπεδον, καὶ πάντα ἄρα τὰ διὰ τῆς ΒΛ ἐπίπεδα ὀρθά



61. RFM[1]. 62. Rt. 63. VR(Vat.MFqrstu); ad p. 204, 1: ἤχθω γὰρ ἡ μὲν ΓΖ κτλ.

2. τῆς] p, et corr. m. rec. ex τήν V. 9. λῆμμα] Vq, om. cett. 10. δέ] om. Mt. κεκλημένῃ V, sed corr. 20. δή] e corr. V. 22. ΒΛ] Β e corr. V. ὀρθή] ἴση R. 23. ὀρθά ἐστι] compp. V, ἴσα εἰσί R.

ἐστι πρὸς τὸν κύκλον. ἓν δὲ τῶν διὰ τῆς ΒΔ ἐπιπέδων ἐστὶ τὸ ΒΑΔ τρίγωνον· καὶ τὸ ΒΑΔ ἄρα τρίγωνον ὀρθόν ἐστι πρὸς τὸ τοῦ κύκλου ἐπίπεδον. καὶ τῇ κοινῇ τῶν ἐπιπέδων πρὸς ὀρθὰς ἥκται ἡ ΑΜ ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ· ἡ ΑΜ ἄρα πρὸς τὸ ΒΑΔ ἐπίπεδον ὀρθή ἐστιν. καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς, οὔσας δὲ ἐν τῷ ΒΑΔ ἐπιπέδῳ, ὀρθή ἐστιν ἡ ΜΑ. ὥστε καὶ πρὸς τὴν ΑΒ ὀρθή ἐστιν.

64. Καὶ αὕτη μὲν ἡ ἀπόδειξις, εἰ μήτε πρὸς ὀρθὰς ἡ ΕΔ τῇ ΓΑ διαχθῇ· τότε γὰρ ἀπὸ τοῦ Γ ἐπὶ τὴν ΔΕ εὐθεῖαν δυνάμεθα κάθετον ἀγαγεῖν τὴν ΓΖ, καὶ οὕτως ἡ ἀπόδειξις προχωρεῖ. εἰ δὲ ἡ ΕΔ κάθετος ἐπὶ τὴν ΓΑ διαχθῇ, δειχθήσεται πάλιν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΒΑΕ ἐλάττων τοῦτον τὸν τρόπον· ἐπεὶ ἡ ΒΓ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ πάντα ἄρα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται. ὥστε καὶ τὸ ΒΓΑ τρίγωνον τῷ ΕΔ κύκλῳ πρὸς ὀρθὰς ἔσται. ἐπεὶ οὖν τὸ ΓΑΒ τρίγωνον τῷ κύκλῳ πρὸς ὀρθάς ἐστι καὶ τῇ κοινῇ αὐτῶν τομῇ ἡ ΕΑ ἐν ἑνὶ τῶν ἐπιπέδων, ἡ ΕΑ ἄρα καὶ τῷ ΑΒΓ τριγώνῳ πρὸς ὀρθὰς ἔσται· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ τῷ ΑΒΓ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ αὐτῆς καὶ ἡ ΒΑ· καὶ πρὸς ἄρα τὴν ΒΑ ὀρθὴν ποιήσει γωνίαν. ὀρθὴ ἄρα ἡ ὑπὸ ΒΑΕ· ὀξεῖα

64. R(Mtu); ad p. 204, 11: ἔστω κύκλος, οὗ κέντρον τὸ Α κτλ.

1. τῶν] corr. ex τῷ m. rec. V. ἐπιπέδῳ V, corr. m. rec. 3. ὀρθόν] ἴσον R. 4. ὀρθάς] ἴσας R. 7. δέ] om. R. ὀρθή] ἴση R. 8. ἐστι R. 12. εἰ] ἡ Ru. ἡ (alt.)] om. u. 13. διδαχθῇ u. 19. τῷ] τῷ ΕΔ u. 23. τῷ ΑΒΓ] supra scr. R.

δὲ ἡ ὑπὸ ΒΑΓ. ἐλάττων ἄρα ἡ ὑπὸ ΒΑΓ τῆς ὑπὸ ΒΑΕ.

65. *Ἀνάπαλιν ἄρα* p. 206, 26] *ἐπειδὴ εἶπεν· ἀνάπαλιν ἄρα ἡ ΖΑ πρὸς τὴν ΑΒ ἐλάσσονα λόγον ἔχει, οὗ ἔχει ἡ ΓΑ πρὸς ΑΒ, ἰστέον τοῦτο, ὅτι ἐπὶ μὲν τῆς ταυτότητος τῶν λόγων πάντα σώζεται καὶ τὸ ἐναλλὰξ καὶ τὸ συνθέντι καὶ τὸ διελόντι καὶ τὸ ἀναστρέψαντι καὶ τὸ ἀνάπαλιν, οἷον ὡς τόδε πρὸς τόδε, οὕτως τόδε πρὸς τόδε· ἐναλλὰξ ὡς τόδε πρὸς τόδε, οὕτως τόδε πρὸς τόδε· πάλιν ὡς τόδε πρὸς τόδε, οὕτως τόδε πρὸς τόδε· συνθέντι ὡς τόδε πρὸς τόδε, οὕτως τόδε πρὸς τόδε· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ἐπὶ δὲ τῆς ἑτερότητος τῶν λόγων πάντα μὲν τὰ ἄλλα σώζεται, τὸ δὲ ἀναστρέψαντι καὶ τὸ ἀνάπαλιν οὐκέτι, οἷον ἐπεὶ τόδε πρὸς τόδε μείζονα λόγον ἔχει ἤπερ τόδε πρὸς τόδε, ἐναλλὰξ τόδε ἄρα πρὸς τόδε μείζονα λόγον ἔχει ἤπερ τόδε πρὸς τόδε· ὁμοίως καὶ ἐπὶ τοῦ συνθέντι καὶ διελόντι. ἐπὶ δὲ τοῦ ἀντιστρέψαντι καὶ τοῦ ἀνάπαλιν οὐκέτι, ἀλλὰ τὸ ἐναντίον γίνεται οὕτως· τόδε πρὸς τόδε μείζονα λόγον ἔχει ἤπερ τόδε πρὸς τόδε· ἀνάπαλιν τόδε ἄρα πρὸς τόδε ἐλάττονα λόγον ἔχει ἤπερ τόδε πρὸς τόδε, ὡς ὧδε εἶπεν· ταῦτα δὲ ὁ Ἥρων διαρθροῖ.*

66. *Τὸ γὰρ αὐτὸ ἡ ΖΑ πρὸς τὸ ἔλασσον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ μεῖζον τὸ ΑΒ.*

---

65. VR(Vat.MAqu). 66. VR(FquVat.[1]).

---

6. *πάντων* R. 7. *τό* (pr.)] mut. in *τῷ* R, *τῷ* V. *τό* (sec.)] *τῷ* R, et V, sed corr. *τό* (tert.)] *τῷ* V et corr. ex *τό* R. 9. *ἐναλλάξ* — 11. *τόδε* (sec.)] om. R. 13. *τῆς*] *τῆς τῶν* V. 14. *τό* (pr.)] corr. ex *τῷ* V. *οὐκέτι*] *-έτι* in ras. V. 22. *ὡς* — *διαρθροῖ*] om. A. *ὡς*] V, om. RMu et lac. rel. Vat. *Ἥρων*] VVat., om. Mu et lac. rel. R. 23. Supra scr. *διὰ τὸ* (*τοῦ* m. rec.) *ζ' τοῦ ϛ' Εὐκλείδου* V.

67. *Πρὸς δὲ τὴν ΑΒ τυχοῦσαν* p. 208, 14] *καὶ πρὸς αὐτὴν γὰρ ὀρθὰς ποιεῖν οὐ δύναται, ἐπειδή, ἐὰν εὐθεῖα δύο εὐθείαις τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπισταθῇ, καὶ τῷ δι' αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ὑπόκειται δὲ αὐτῷ μὴ οὖσα πρὸς ὀρθὰς ἐν τῷ λϛ'.*

68. *Καὶ πάντα ἄρα κτλ.* p. 208, 17] *διὰ τὸ δ' καὶ τὸ ιη' τῶν Στερεῶν τοῦ α' βιβλίου.*

69. *Ἐπὶ τὴν κοινὴν ἄρα* p. 208, 21] *ἔχομεν γὰρ ἐν τοῖς Στερεοῖς θεώρημα· ἐὰν ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθὸν ᾖ, καὶ ἀπό τινος σημείου αὐτῶν ἐν ἑνὶ τῶν ἐπιπέδων ἐπὶ τὸ ἕτερον ἐπίπεδον κάθετος ἀχθῇ, ἐπὶ τῆς κοινῆς τομῆς πεσεῖται τῶν ἐπιπέδων.*

70. *Ἡ ΝΞ μείζων* p. 210, 4] *διότι ἴση ὑπετέθη τῇ ΕΖ τῇ ὑποτεθείσῃ μείζονι τῶν ἐκ τοῦ κέντρου, καὶ ἐὰν ἡ ΕΖ μείζων, καὶ αὕτη ὡς ἴση ταύτῃ.*

71. *Ἡ ΝΟ* p. 210, 11] *ἡ ΝΟ γὰρ ἐκτὸς πεσεῖται τοῦ ΛΣΜ τμήματος· ἡ γὰρ ΝΞ τῆς ΝΡ μείζων ἐστίν· ἐπὶ γὰρ τῆς ΝΞ ἐστι τὸ κέντρον τοῦ κύκλου τοῦ ΛΣ· μείζων γάρ ἐστι τῆς ΛΝ. ἐπεὶ γὰρ ἐν κύκλῳ τῷ ΛΞΜ εὐθεῖά τις ἡ ΝΞ εὐθεῖάν τινα τὴν ΛΜ δίχα καὶ πρὸς ὀρθὰς τέμνει, ἐπὶ τῆς ΝΞ ἄρα ἐστὶ τὸ κέντρον τοῦ ΛΞΜ κύκλου. ὑπόκειται δὲ ἡ ΝΞ μείζων τῆς ἐκ τοῦ κέντρου, ἐπειδὴ καὶ ἡ ΕΖ, καὶ ἀεὶ ἡ ἔγγιον τοῦ κέντρου τῆς ἀπώτερον μείζων.*

---

67. VR(MFVat.Aqru). 68. VRVat.q. 69. VR (Vat.MAFqu). 70. V[1]. 71. VR(MFVat.qru).

---

6. *ἐν*] *ὡς ἐν* A. 8. *ιη'*] *η'* R. 10. *Στερεοῖς*] om. lac. rel. Vat. *θεωρήμασιν* Fu. 11. *αὐτῶν — τῶν*] in ras. V. 13. *τῶν ἐπιπέδων πεσεῖται* A. 19. *ἐπί*] *ἐπεί* r, et V, sed corr. *ΝΞ*] *Ξ* in ras. V. 24. *ΕΖ*] Z in ras. V.

72. *Ἔτι κείσθω τῇ ὑπὸ τῶν ΕΖΚ* p. 210, 14] *ἡ γὰρ ὑπὸ τῶν ΕΖΚ ἐδείχθη ἐλάττων πασῶν τῶν διὰ τοῦ Ζ διαγομένων καὶ ποιουσῶν πρὸς τῇ ΑΒ γωνίας.*

73. *Μείζων δὲ ἡ Ο* p. 212, 1] *τριγώνου γὰρ τοῦ ΔΡΠ ἐκτός ἐστι, καὶ ἡ πρὸς τῷ Ο ἄρα μείζων ἐστὶ τῆς πρὸς τῷ Π. καί ἐστι ἡ μὲν πρὸς τῷ Ο ἴση τῇ ὑπὸ ΗΕΘ, ἡ δὲ πρὸς τῷ Π ἴση τῇ ὑπὸ ΑΕΒ.*

Ad prop. XXXVIII.

74. *Τοῦ ὄμματος ἐπὶ τοῦ κέντρου τοῦ κύκλου κειμένου.*

75. *Ὁμοίως δέ, κἂν ἀπὸ τοῦ Γ κέντρου πρὸς ὀρθὰς ἀνασταθῇ εὐθεῖα, ἐπὶ δὲ ταύτης τὸ ὄμμα τεθῇ, καὶ μετακινῆται τὸ ὁρώμενον μέγεθος κατὰ τῆς τοῦ κύκλου περιφερείας παράλληλον ὂν τῇ εὐθείᾳ, ἐφ᾽ ἧς τὸ ὄμμα, ἴσον ἀεὶ τὸ ὁρώμενον ὀφθήσεται.*

Ad prop. XL.

76. *Λέγω, ὅτι ἡ ΑΒ κτλ.* p. 220, 2] *τουτέστιν· ὅταν ἡ ΔΖ τὴν θέσιν ἐν τῷ κύκλῳ ταύτην σχοίη, ἐλάττων ὀφθήσεται ἤπερ, ὅτε ἦν ἀνασταῖσα μὴ πρὸς ὀρθάς.*

---

72. VVat. 73. x m. 2, O m. 1 in textu inter *ἐπι-* et *-ζευγνυμένη* p. 212, 5 (del. m. 2 et in mg. coll.). 74. RVat.; cfr. p. 216, 4 not. crit. 75. Rur(M¹Ft). 76. V(RVat.M¹ AFqut).

---

3. *διαγομένων*] corr. ex *διαγωνίων* V. 5. *ἡ πρός*] O, *ἐπεί* x. 6. *ἐστι*] *δέ*? x. 7. *ΗΕΘ*] *τῶν ΕΘΗ* x. 9. *τοῦ κέντρου τοῦ κύκλου*] *τοῦ ⊙ κέντρου* R. 11. *Γ*] R, om. ru. 12. *τεθῇ*] *μετατεθῇ* u. 13. *μετακινεῖται* Ru. *τοῦ*] om. u. 19. *ὠφθήσεται* V, sed corr.

77. *Δῆλον, ὅτι πρότερον δεῖ δεῖξαι* p. 220, 12] *εἰ γὰρ τοῦτο δειχθῇ, ὅτι ἐλάσσων ἡ ὑπὸ ΒΕΔ γωνία τῆς ὑπὸ ΖΕΔ γωνίας, γνώριμον τὸ ζητούμενον ὡς διὰ τῶν ὅρων.*

5 78. *Ἀλλὰ δὴ ἔστω* p. 222, 21] *ἐπεὶ εἶπεν, ὅτι· ἤτοι δὲ ἡ ΔΖ μείζων τῆς ἐκ τοῦ κέντρου ἢ ἴση ἢ ἐλάσσων, ὑπέθετο δὲ αὐτὴν μείζονα καὶ ἔδειξε τὸ ΑΒ μέγεθος τοῦ ΔΖ ἔλασσον, νῦν ὑποτίθεται τὴν ΔΖ ἴσην τῇ ἐκ τοῦ κέντρου καὶ δείκνυσι πάλιν τὸ ΑΒ μέγεθος ἔλασσον*
10 *τοῦ ΔΖ μεγέθους, ἐν δὲ τῷ ἐφεξῆς ὑποτίθεται τὴν ΔΖ ἐλάσσονα τῆς ἐκ τοῦ κέντρου καὶ πάλιν δείκνυσι τὸ ΑΒ μέγεθος ἔλασσον τοῦ ΔΖ μεγέθους.*

79. *Ἀπὸ τῆς ΘΝ* p. 224, 20] *ἐπεὶ γὰρ ἐλάσσων ὑπετέθη τῆς ἐκ τοῦ κέντρου, ἡ δὲ ΘΝ ἐκ τοῦ κέντρου,*
15 *μείζων θέλει εἶναι τῆς ΖΔ τῆς ἐλάσσονος.*

Ad prop. XLI.

80. *Ὡς ἐπὶ τῶν ἄστρων.*

81. *Τὸ αὐτὸ δὲ συμβήσεται, καὶ εἰ τὸ ὄμμα ἐπὶ τοῦ κέντρου τοῦ κύκλου μένει, τὸ δὲ ὁρώμενον ἐπὶ*
20 *τῆς περιφερείας μεταβαίνει.*

82. *Ἔστι τις τόπος, οὗ τοῦ ὄμματος μεθισταμένου, τῶν δὲ ὁρωμένων ἴσων μενόντων καὶ πρὸς ὀρθὰς τῷ*

---

77. V¹. 78. V¹. 79. V¹q. 80. VRVat.FM¹ptu. 81. RVat.M¹u. 82. V mg., signo ✻ post prop. 41 (in cod. *μζ'*; prop. 42 in cod. *μθ'* est) insertum; in fine est: *ζήτει τὸ θεώρημα εἰς τὸ κατεναντίον*; est enim in pag. pr. folii sequentis. idem theor. habet q in textu post prop. 43, quae in q est *ν'* (*μθ'* m. 2), numero *μη'* signatum (*ν'* m. 2); ad prop. 41 (*μζ'* q) add. *ζήτει μη'*; prop. 42 est *μθ'*, *μη'* m. 2. — De re cfr. opt. uet. prop. 46, ubi u. fig.

ὑποκειμένῳ ἐπιπέδῳ, ποτὲ μὲν ἴσα, ποτὲ δὲ ἄνισα φαίνεται.

ἔστω ἴσα μεγέθη τὰ ΑΒ, ΓΔ πρὸς ὀρθὰς ὄντα τῷ ὑποκειμένῳ ἐπιπέδῳ. λέγω, ὅτι ἔστι τις τόπος, οὗ τοῦ ὄμματος μεθισταμένου, τοῦ δὲ ὁρωμένου μένοντος, τὰ ΑΒ, ΓΔ ποτὲ μὲν ἴσα, ποτὲ δὲ ἄνισα φαίνεται. ἐπεζεύχθω ἡ ΒΔ καὶ τετμήσθω δίχα κατὰ τὸ Ε, καὶ ἤχθω πρὸς ὀρθὰς αὐτῇ ἡ ΕΖ. λέγω, ὅτι, ἐὰν ἐπὶ τῆς ΕΖ τὸ ὄμμα τεθῇ, τὰ ΑΒ, ΓΔ ἴσα φαίνεται. κείσθω γὰρ ἐπὶ τοῦ Ζ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΒΖ, ΖΑ, ΖΓ, ΖΔ. ἴση ἄρα ἡ ΒΖ τῇ ΖΔ. ἀλλὰ καὶ ἡ ΑΒ τῇ ΓΔ ὑπόκειται ἴση· δύο δὴ αἱ ΑΒ, ΒΖ δυσὶ ταῖς ΓΔ, ΔΖ ἴσαι εἰσίν· καὶ γωνίας ὀρθὰς περιέχουσιν· βάσις ἄρα ἡ ΑΖ βάσει τῇ ΖΓ ἴση ἐστίν. ὥστε καὶ γωνία ἡ ὑπὸ ΒΖΔ τῇ ὑπὸ ΔΖΓ ἴση. ὥστε τὰ ΑΒ, ΓΔ ἴσα ὀφθήσεται. μετακείσθω δὴ τὸ ὄμμα καὶ ἔστω τὸ Η. λέγω, ὅτι ἄνισα ὀφθήσεται. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΗΒ, ΗΑ, ΗΓ, ΗΔ. μείζων ἄρα ἡ ΒΗ τῆς ΗΔ. ἀφῃρήσθω οὖν ἀπὸ τῆς ΗΒ τῇ ΗΔ ἴση ἡ ΒΘ, καὶ ἐπεζεύχθω ἡ ΑΘ. ἴση ἄρα γωνία ἡ ὑπὸ ΒΘΑ τῇ ὑπὸ ΓΗΔ. ἀλλ' ἡ ὑπὸ ΒΘΑ τῆς ὑπὸ ΑΗΘ μείζων· ἐκτὸς γάρ· καὶ ἡ ὑπὸ ΓΗΔ ἄρα τῆς ὑπὸ ΒΗΑ μείζων. ὥστε καὶ ἡ ΓΔ μείζων τῆς ΑΒ φανήσεται.

Ad prop. XLIII.

83. Ἐφάψεται δή p. 228, 24] ἐὰν γὰρ τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τῆς μέσης, καὶ διὰ τοῦτο διὰ τὸ λδ' τοῦ γ' τῆς Ἐπιπέδου ἐφάπτεται.

---

83. V.

84. Ἄλλως τὸ ν'.

ἔστω ὁρώμενον μέγεθος τὸ ΚΔ, εὐθεῖα δὲ πλαγία ἔστω ἡ ΒΓ, καὶ προσεκβεβλήσθω ἐπ' εὐθείας τῇ ΔΚ ἡ ΚΓ καὶ συμβαλλέτω τῇ ΒΓ κατὰ τὸ Γ, καὶ εἰλήφθω τῶν ΔΓ, ΓΚ μέση ἀνάλογον ἡ ΓΖ, καὶ ἔστω τὸ ὄμμα τὸ Ζ, καὶ μετακεκινήσθω τὸ ὄμμα τὸ Ζ καὶ ἔστω ἐπὶ τῆς αὐτῆς εὐθείας τὸ Β. λέγω, ὅτι τὸ ὑπὸ τῶν Ζ, Β ὁρώμενον ἄνισον φανήσεται. ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΚΖ, ΖΔ, ΚΒ, ΒΔ, καὶ γεγράφθω περὶ τὸ ΚΖΔ τρίγωνον τμῆμα κύκλου τὸ ΚΖΔ, καὶ κείσθω τῇ ὑπὸ τῶν ΓΒΔ γωνίᾳ ἴση ἡ ὑπὸ τῶν ΓΚΗ, καὶ ἐπεζεύχθω ἡ ΗΔ. ἐν κύκλῳ ἄρα ἐστὶ τὸ ΔΚΗΒ. ἐπεὶ οὖν μείζων ἡ ὑπὸ ΚΖΔ τῆς ὑπὸ ΚΗΔ· ἐπιζευχθείσης γὰρ τῆς ΟΚ φανερὸν τοῦτο· ἴση δὲ ἡ ὑπὸ ΚΗΔ τῇ ὑπὸ ΚΒΔ, ἐπειδήπερ ἐν τῷ αὐτῷ τμήματί ἐστιν, καὶ ἡ ὑπὸ ΚΖΔ ἄρα τῆς ὑπὸ ΚΒΔ μείζων ἐστίν.



ἔχομεν γάρ· τῶν ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ὥστε καὶ τὸ ἀντίστροφον· ἐὰν τετραπλεύρου αἱ ἀπεναντίον δυσὶν ὀρθαῖς ἴσαι ὦσιν, ἐν κύκλῳ ἐστὶ τὸ τετράπλευρον, ὡς δείξομεν. ἐπεὶ οὖν ἡ ὑπὸ ΓΚΗ ἴση τῇ ὑπὸ ΓΒΔ,

---

84. V mg., q (prop. 43 in V est ν'); cfr. opt. uet. prop. 42 ἄλλως. Lin. 21 sq. pertinet ad ΔΚΗΒ lin. 16, quo signo ∿ refertur in Vq.

---

11. αἱ] q, m. rec. V. 15. ΓΒΔ] e corr. m. rec. V, ΓΔΒ q. 16. τό] q et corr. ex τῷ m. rec. V. 20. τῆς] q et corr. ex τῆι V.

κοινὴ προσκείσθω ἡ ὑπὸ ΗΚΔ· αἱ ὑπὸ ΓΚΗ ἄρα ΗΚΔ ταῖς ὑπὸ ΗΚΔ, ΗΒΔ ἴσαι. ἀλλ' αἱ ὑπὸ ΓΚΗ, ΗΚΔ δυσὶν ὀρθαῖς ἴσαι· καὶ αἱ ὑπὸ ΗΚΔ, ΗΒΔ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὥστε καὶ αἱ λοιπαί. ὅτι δέ, ἐὰν τετραπλεύρου αἱ ἀπεναντίον δυσὶν ὀρθαῖς ἴσαι ὦσιν, ἐν κύκλῳ ἐστὶ τὸ τετράπλευρον, δέδεικται ἐν τῷ ὑπομνήματι.

Ad prop. XLV.

85. Τὸ αὐτὸ τῷ νβ'.

ἔστι τις τόπος κοινός, ἐν ᾧ τοῦ ὄμματος τεθέντος τὰ ἴσα μεγέθη ἄνισα φαίνεται.

ἔστω ἴσα μεγέθη τὰ ΑΒ, ΒΓ, καὶ ἤχθω ἀπὸ τοῦ Β πρὸς ὀρθὰς ἡ ΒΔ καὶ ἐκβεβλήσθω. λέγω, ὅτι καθ' ὁποιονοῦν τῆς ΒΔ μέρος τεθῇ τὸ ὄμμα, τὰ ΑΒ, ΒΓ ἴσα φαίνεται. καί ἐστι αὐτόθεν δῆλον. μετακείσθω δὴ τὸ ὄμμα καὶ ἔστω τὸ Ε. λέγω, ὅτι ἀπὸ τοῦ Ε ἄνισα φαίνεται. προσπιπτέτωσαν γὰρ ἀκτῖνες αἱ ΑΕ, ΕΒ, ΕΓ, καὶ γεγράφθω περὶ τὸ ΑΓΕ τρίγωνον κύκλος, καὶ ἐκβεβλήσθω ἡ ΕΒ ἐπὶ τὸ Η. ἐπεὶ οὖν ἴση ἡ ΑΒ τῇ ΒΓ, μείζων δὲ ἡ ΓΕ τῆς ΑΕ, μείζων ἄρα καὶ γωνία ἡ ὑπὸ τῶν ΑΕ, ΕΒ τῆς ὑπὸ τῶν ΒΕ, ΕΓ. μείζων ἄρα φανήσεται ἡ ΑΒ τῆς ΒΓ. ὡσαύτως δέ, κἂν μὲν ἐπὶ τῆς ΒΖ τεθῇ, ἴσα φαίνεται, ἐὰν δὲ ἐπὶ τῆς ΒΗ, ἄνισα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τοῦ κύκλου μερῶν χωρὶς τῆς πρὸς ὀρθὰς ἐὰν τεθῇ τὸ ὄμμα, ἄνισα φαίνεται.

85. Vq (post 45, νβ' V) (V in mg. inf.).

2. αἱ] comp. V, seq. ras. 3. αἱ] in ras. V. 9. τό] e corr. m. rec. V. 17. αἱ] q, om. V. ΑΕ] q et corr. ex ΑΒ m. rec. V. 26. ζήτει τὸ θεώρημα ὄπιθεν V.

86. Ὅτι δὲ δυνατὸν τέμνεσθαι τὸ ἡμικύκλιον ὑπὸ τοῦ μείζονος τμήματος καὶ ποῦ, οὕτως ἔσται δῆλον· ἔστωσαν ἴσαι αἱ ΑΒ, ΒΓ, καὶ περιγεγράφθω ἡμικύκλιον περὶ τὸ ΑΒ τὸ ΑΘΒ, καὶ συνεστάτω πρὸς τῇ ΒΓ



καὶ τῷ Β σημείῳ γωνία ὀξεῖα ἡ ὑπὸ ΓΒΔ, πρὸς δὲ τῷ Γ ἴση τῇ Β ἡ Γ, καὶ συμπιπτέτω κατὰ τὸ Δ, καὶ ἀπὸ τοῦ Δ ἐπὶ τὸ κέντρον τοῦ ΑΘΒ, ὅ ἐστι τὸ Ε, ἐπεζεύχθω ἡ ΔΕ, καὶ κείσθω τῇ ΒΖ περιφερείᾳ ἴση ἡ ΖΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΘ, ΘΕ. ἐπεὶ οὖν ἡ ΘΕ τῇ ΕΒ ἴση, κοινὴ δὲ ἡ ΕΔ, καὶ γωνίας ἴσας περιέχουσιν, ἐπεὶ καὶ ἡ ΘΖ περιφέρεια τῇ ΖΒ ἐστιν ἴση, ἴση ἄρα ἡ ΘΔ τῇ ΔΒ. ἡ δὲ ΔΒ τῇ ΔΓ· ὥστε ὁ κέντρῳ τῷ Δ, διαστήματι δὲ τῷ ΔΘ γραφόμενος κύκλος τεμεῖ τὸ ἡμικύκλιον καὶ διὰ τοῦ Β ἐλεύσεται.

Ad prop. XLIX.

87. Ἐκ τοῦ θεωρήματος φανερώτερον γίνεται τῷ συμπίπτειν αὐτά.

86. VR(Vat. Aqru, in textu t). 87. VR(FVat. qt).

1. δυνατόν] VVat., δύναται R. 3. αἱ] om. VR. καί] om. R. 4. τό (pr.)] τά RVat., et V, sed corr. τό (alt.)] om. VR. 5. ἡ] eras. V. 12. ὥστε] στε post lac. Vat. 13. Δ] supra scr. Vat. τῷ ΔΘ] R, τ ωδθ Vat., τῷ γδθ e corr. m. rec. V.

88. *Φερομένων ὡς ἵππων τυχὸν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά.*

Ad prop. L.

89. *Οἷον πλοίων.*

Ad prop. LI.

90. *Ὡς ἐπὶ τοίχων.*

Ad prop. LIII.

91. *Τῶν ἴσῳ τάχει φερομένων τὰ πόρρω δοκεῖ βραδύτερον φέρεσθαι.*



φερέσθω γὰρ δύο σημεῖα τὰ Α, Β ἐπὶ παραλλήλων εὐθειῶν τῶν ΑΔ, ΒΕ ὁμαλῶς· τὰς ἴσας ἄρα ἐν ἴσῳ χρόνῳ διελεύσεται. ἔστωσαν οὖν ἴσαι αἱ ΑΔ, ΒΕ, καὶ προσπιπτέτωσαν ἀκτῖνες ἀπὸ τοῦ Ζ ὄμματος αἱ ΖΑ, ΖΔ, ΖΕ. ἐπεὶ οὖν ἐλάττων ἐστὶν ἡ ὑπὸ ΑΖΔ γωνία τῆς ὑπὸ ΒΖΕ, ἔλαττον ἄρα τὸ ΑΔ διάστημα τοῦ ΒΕ φανήσεται. ὥστε δόξει τὸ Α βραδύτερον φέρεσθαι τοῦ Β.

---

88. V Vat.(q). 89. VRFp. 90. VRF. 91. VR (Vat.Mqru, in textu post prop. 53 F et add. numero *νξ'* t).

---

1. *ἵππων*] *ἵπῶ* Vat. 6. *τοίχων*] *τυχων* V, corr. m. rec. 8. *κρείττων αὕτη ἡ ἀπόδειξις* FR. *ἴσῳ*] *ἴσο* V, sed corr. *τάχι* V. 12. *ὁμαλῶς*] om. R. 17. *ΑΖΔ*] V, *ΖΑ* M et postea add. *Δ* R. 19. *ἄρα* — 20. *Β*] om. M.

Ad prop. LIV.

92. Ἔστω ὁρώμενα τὰ Α, Γ ἐπὶ παραλλήλων ὄντα τῶν ΑΒ, ΓΔ εὐθειῶν. λέγω, ὅτι τὸ πόρρω τὸ Α καταλείπεσθαι δόξει. ἔστω γὰρ ὄμμα τὸ Ε, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΓ, ΕΑ, ΕΔ, ΕΒ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ ὑπὸ ΓΕΔ τῆς ὑπὸ ΑΕΒ, μεῖζον ἄρα καὶ τοῦ ΑΒ τὸ ΓΔ φανήσεται. ὑπολείπεται ἄρα τὸ Α· δοκεῖ γὰρ βραδύτερον φέρεσθαι.



92. VR (Vat. qrtu).

2. ἐπὶ παραλλήλων] ἐπ' εὐθείας V. 3. εὐθειῶν] ἴσων εὐθειῶν Vat. 9. τοῦ] ἡ τό, ἡ eras., V. τό] τοῦ V. 10. Post Α eras. Δ V.

CATOPTRICA.

Ὄψιν εἶναι εὐθεῖαν, ἧς τὰ μέσα πάντα τοῖς ἄκροις ἐπιπροσθεῖ.

Τὰ ὁρώμενα ἅπαντα καθ' εὐθείας ὁρᾶσθαι.

Ἐνόπτρου τεθέντος ἐν ἐπιπέδῳ καὶ θεωρουμένου τινὸς ὕψους, ὃ πρὸς ὀρθάς ἐστι τῷ ἐπιπέδῳ, γίγνονται ἀνάλογον, ὡς ἡ μεταξὺ τοῦ ἐνόπτρου καὶ τοῦ θεωροῦντος εὐθεῖα πρὸς τὴν μεταξὺ τοῦ ἐνόπτρου καὶ τοῦ πρὸς ὀρθὰς ὕψους, οὕτω τὸ τοῦ θεωροῦντος ὕψος πρὸς τὸ πρὸς ὀρθὰς τῷ ἐπιπέδῳ ὕψος.

Ἐν τοῖς ἐπιπέδοις ἐνόπτροις τοῦ τόπου καταληφθέντος, ἐφ' ὃν ἡ κάθετος πίπτει ἀπὸ τοῦ ὁρωμένου, οὐκέτι ὁρᾶται τὸ ὁρώμενον.

Καὶ ἐν τοῖς κυρτοῖς ἐνόπτροις καταληφθέντος τοῦ τόπου, δι' οὗ ἀπὸ τοῦ ὁρωμένου εἰς τὸ κέντρον ἄγεται τῆς σφαίρας, οὐκέτι ὁρᾶται τὸ ὁρώμενον. τὸ δ' αὐτὸ καὶ ἐν τοῖς κοίλοις συμβαίνει.

Ἐὰν εἰς ἀγγεῖον ἐμβληθῇ τι καὶ λάβῃ ἀπόστημα ὡς μηκέτι ὁρᾶσθαι, τοῦ αὐτοῦ ἀποστήματος ὄντος ἐὰν ὕδωρ ἐγχυθῇ, ὀφθήσεται τὸ ἐμβληθέν.

α'.

Ἀπὸ τῶν ἐπιπέδων ἐνόπτρων καὶ κυρτῶν καὶ κοίλων αἱ ὄψεις ἐν ἴσαις γωνίαις ἀνακλῶνται.

Ὅροι m, *ὅροι κατοπτρικῶν* m. rec. v. 1. Supra *εὐθεῖαν ἧς* scr. *ὑποκείσθω* m. 2 V, mg. m. 1: *κατὰ κοινοῦ τὸ ὑποκείσθω.* *ἧς*] corr. ex *εἷς* v. 5. *ἐστιν* V v. *γίνονται* M.

Uisum rectam esse, cuius partes mediae omnes extremis officiant.

Omnia, quae cernantur, secundum rectas cerni.

Ubi speculo in plano posito altitudo aliqua ad planum perpendicularis spectatur, proportionem habet, ut recta inter speculum et spectantem ducta ad rectam inter speculum et altitudinem perpendicularem ductam, ita altitudo spectantis ad altitudinem ad planum perpendicularem.

In speculis planis eo loco occupato, in quem recta ab eo, quod cernitur, perpendicularis cadit, illud non iam cernitur.

Etiam in speculis conuexis eo loco occupato, per quem recta ab eo, quod cernitur, ad centrum sphaerae ducitur, illud non iam cernitur. idem autem etiam in speculis concauis euenit.

Si res aliqua in uas coniecta et tam longe remota erit, ut non iam cernatur, si eadem distantia manente aqua infusa erit, res in uas coniecta cernetur.

1.

A speculis uel planis uel conuexis uel concauis radii sub angulis aequalibus refringuntur.

---

6. *τοῦ* (alt.)] m. rec. V. 8. *οὕτω*] *οὕτω καί* M. *ὕψος*] corr. ex *ὕψους* m. 2 v. 13. *τοῦ*] e corr. m. 15. *ὁρᾶται*] *ὁρᾶτε* v, sed corr. 19. *ἐγχυθῇ*] *ἐκχεθῇ* Mv, et V, corr. m. rec.; *ἐγχεθῇ τῷ ἀγγείῳ* m. 20. *α'*] om. M.

ἔστω ὄμμα τὸ Β, ἔνοπτρον ἐπίπεδον τὸ ΑΓ, ὄψις δ' ἀπὸ τοῦ ὄμματος φερέσθω ἡ ΒΚ καὶ ἀνακεκλάσθω ἐπὶ τὸ Δ. φημὶ δὴ τὴν Ε γωνίαν ἴσην εἶναι τῇ Ζ. ἤχθωσαν κάθετοι ἐπὶ τὸ ἔνοπτρον αἱ ΒΓ, ΔΑ. οὐκ-
5 οῦν ἐστιν, ὡς ἡ ΒΓ πρὸς ΓΚ, ἡ ΔΑ πρὸς ΑΚ· τοῦτο γὰρ ἐν τοῖς ὅροις ὑπέκειτο· ὅμοιον ἄρα τὸ ΒΓΚ τρίγωνον τῷ ΔΑΚ τριγώνῳ. ἴση ἄρα ἡ Ε γωνία τῇ Ζ γωνίᾳ· τὰ γὰρ ὅμοια τρίγωνα ἰσογώνιά ἐστιν.



ἔστω δὴ κυρτὸν ἔν-
10 οπτρον τὸ ΑΚΓ, ὄψις δὲ ἡ ΒΚ ἀνακλωμένη ἐπὶ τὸ Δ. λέγω, ὅτι ἴση ἐστὶν ἡ Ε, Θ γωνία τῇ Ζ, Λ. παρέθηκα ἐπίπεδον ἔν-
15 οπτρον τὸ ΝΜ· ἴση ἄρα ἐστὶν ἡ Ε γωνία τῇ Ζ. ἀλλὰ καὶ ἡ Θ τῇ Λ· ἐφάπτεται γὰρ ἡ ΜΝ. ὅλη ἄρα ἡ Ε, Θ ὅλῃ τῇ Λ, Ζ ἐστιν ἴση.

ἔστω δὴ πάλιν κοῖλον ἔνοπτρον τὸ ΑΚΓ, ὄψις δὲ
20 ἡ ΒΚ ἀνακλωμένη ἐπὶ τὸ Δ. λέγω, ὅτι ἡ Ε γωνία ἴση ἐστὶ τῇ Ζ. παρατεθέντος γὰρ ἐπιπέδου ἐνόπτρου ἴση γίγνεται ἡ Θ, Ε γωνία τῇ Ζ, Λ· ἴση δὲ καὶ ἡ Θ τῇ Λ· λοιπὴ ἄρα ἡ Ε τῇ Ζ ἴση ἔσται.

---

1. Post Β add. καί m. rec. V. 2. ΒΚ] ΒΕ M. 5. Ante ΓΚ add. τήν M, m. rec. V. ΑΚ] τὴν ΑΚ, ΑΚ e corr., M; τήν add. m. rec. V. 6. ὑπέκειτο] mut. in ὑπόκειται m. rec. V. 7. Post ἄρα add. ἐστίν m. rec. V. 8. τρίγωνα] om. M. 9. β' V. 10. ΑΚΓ] corr. ex ΑΚ m. rec. V. 15. τὸ ΝΜ — 18. ἴση] eras. V, m. rec.: τὸ ΝΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΜΚΒ γωνία τῇ ὑπὸ ΝΚΔ, ἀλλὰ καὶ ἡ ὑπὸ ΓΜΚ τῇ ὑπὸ ΑΚΝ· ἐφάπτεται γὰρ ἡ ΜΝ· ὅλη ἄρα ἡ ὑπὸ ΒΚΓ τῇ ὑπὸ ΔΚΑ ἴση

sit oculus B, speculum planum $\Delta\Gamma$, radius autem ab oculo feratur BK et ad Δ refringatur. dico, esse $\angle E = Z$. ducantur ad speculum perpendiculares $B\Gamma$, ΔA. erit igitur



$$B\Gamma : \Gamma K = \Delta A : AK;$$

hoc enim in definitionibus suppositum erat. itaque trianguli $B\Gamma K$, ΔAK similes sunt. quare erit $\angle E = Z$; similes enim trianguli aequianguli sunt.

iam conuexum sit speculum $\Delta K\Gamma$, radius autem BK ad Δ refractus. dico, esse $\angle E + \Theta = Z + \Lambda$. adposui speculum planum NM. itaque $\angle E = Z$. uerum etiam $\angle \Theta = \Lambda$; MN enim contingit. ergo $\angle E + \Theta = \Lambda + Z$.

iam rursus concauum speculum sit $\Delta K\Gamma$, radius autem BK ad Δ refractus. dico, esse $\angle E = Z$. adposito enim speculo plano fit



$$\angle \Theta + E = Z + \Lambda.$$

uerum etiam $\angle \Theta = \Lambda$. ergo, qui relinquitur, $\angle E = Z$.

ἐστίν. 17. E, Θ] Θ, E in ras. M. 19. γ′ V v. 20. BK] BE M. E γωνία] mut. in ὑπὸ $BK\Gamma$ γωνία m. rec. V. 21. ἐστίν V. Z] mut. in ὑπὸ ΔKA m. rec. V. 22. Θ, E] mut. in ὑπὸ BKM m. rec. V. Z, Λ] ὑπὸ ΔKN m, m. rec. V. καὶ ἡ Θ τῇ Λ] ἡ ὑπὸ ΓKM τῇ ὑπὸ AKN καί m, m. rec. V. 23. ἡ E — ἔσται] ἡ ὑπὸ $BK\Gamma$ τῇ ὑπὸ ΔKA ἴση ἐστίν m, m. rec. V.

β'.

Πρὸς ὁποῖον ἂν τῶν ἐνόπτρων προσπέσῃ ὄψις ἴσας ποιοῦσα γωνίας, αὐτὴ δι' ἑαυτῆς ἀνακλασθήσεται.

ἔστω ἔνοπτρον ἐπίπεδον τὸ ΑΓ, ὄμμα δὲ τὸ Β, ὄψις δὲ ἡ ΒΚ προσπεπτωκέτω ἴσας ποιοῦσα γωνίας τὴν Ε, Ζ τῇ Θ. λέγω, ὅτι ἀνακλωμένη ἡ ΒΚ ἐφ' ἑαυτῆς ἥξει, τουτέστιν ἐπὶ τὸ Β. μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἡκέτω ἐπὶ τὸ Δ. καὶ ἐπειδὴ αἱ ὄψεις ἐν ἴσαις ἀνακλῶνται γωνίαις, ἴση ἐστὶν ἡ Ε γωνία τῇ Θ. ἐδείχθη δὲ καὶ ἡ Ε, Ζ γωνία τῇ Θ ἴση. καὶ ἡ Ε, Ζ ἄρα γωνία τῇ Ε γωνίᾳ ἔσται ἴση, ἡ μείζων τῇ ἐλάσσονι· ὅπερ ἐστὶν ἀδύνατον. ἡ ἄρα ΒΚ δι' αὐτῆς ἀνακλασθήσεται. ἡ δ' αὐτὴ ἀπόδειξις ἁρμόσειεν ἂν ἐπὶ τῶν κυρτῶν καὶ τῶν κοίλων ἐνόπτρων.

γ'.

Πρὸς ὁποῖον ἂν τῶν ἐνόπτρων προσπίπτουσα ὄψις ἀνίσους ποιῇ γωνίας, οὔτε δι' ἑαυτῆς ἀνακλασθήσεται οὔτε ἐπὶ τῆς ἐλάσσονος γωνίας.

ἔστω ἐπίπεδον ἔνοπτρον τὸ ΑΚΓ, ὄψις δὲ ἡ ΒΚ προσπιπτέτω μείζονα ποιοῦσα γωνίαν τὴν Ζ τῆς Θ, Λ. λέγω, ὅτι ἡ ΒΚ ἀνακλωμένη οὔτε αὐτὴ δι' ἑαυτῆς ἀνακλασθήσεται οὔτε ἐπὶ τὴν Θ, Λ γωνίαν. εἰ μὲν

---

1. β'] δ' Vv. 2. *προσπέσοι* M. Dein add. *ἡ* m, m. rec. V. 6. *τὴν — Θ*] *τὰς ὑπὸ ΑΚΒ, ΓΚΒ* m, m. rec. V. *ΒΚ*] *ΒΕ* M. 8. *ἡκέτω*] *ἱκέτω* M. *ὄψις* v, corr. m. 2. 9. *Ε*] *ὑπὸ ΑΚΔ* m, m. rec. V. *Θ*] *ὑπὸ ΓΚΒ* m, m. rec. V. 10. *Ε, Ζ* (pr.) — *Θ*] *ὑπὸ ΑΚΒ τῇ ὑπὸ ΓΚΒ* m, m. rec. V. *Ε, Ζ* (alt.)] *ὑπὸ ΑΚΒ* m, m. rec. V. 11. *Ε*] *ὑπὸ ΑΚΔ* m, m. rec. V. *γωνίᾳ ἔσται*] *ἔστιν* m, m. rec. V. *ἐλάττονι* M. 12. *ἐστίν*] om. M. *ΒΚ*] *ΒΕ* M. *δι' αὐτῆς*] *ὄψις ἐφ' ἑαυτῆς* m, m. rec. V. *αὐτῆς*] mut. in *ἑαυτῆς* m. 2 v. 13. *ἁρμόσειεν*] *ἁρμόσειε καί* m, m. rec. V. *ἄν*] M, om. Vmv.

2.

Ad qualecunque speculum radius adciderit aequales efficiens angulos, secundum se ipsum refringetur.

sit $\Delta\Gamma$ speculum planum, oculus autem B, radius uero BK adcidat aequales angulos efficiens $E + Z = \Theta$. dico, BK refractum per se ipsum uenturum esse, h. e. ad B. ne ueniat enim, sed, si fieri potest, ad Δ ueniat. et quoniam radii sub angulis aequalibus refringuntur [prop. 1], erit $\angle E = \Theta$. uerum etiam $\angle E + Z = \Theta$. quare etiam $\angle E + Z = E$, maior minori; quod fieri non potest. ergo BK secundum se ipsum refringetur. eadem autem demonstratio in speculis conuexis concauisque conueniet.



3.

2. ΕΑ] ΕΛ M. 3. ἑαυτῆς] αὐτῆς M. 4. εἰσιν Vv. αἱ] corr. ex ε v. πορρωτάτω τοῦ μέσου m. 5. κατά] κατὰ τό m. ἡ ΕΖ] corr. ex ἡ ΕΞ v, ἐνταῦθα μέγισται μέν εἰσιν αἱ ΔΛ, ΒΓ, ἐλαχίστη δὲ ἡ ΕΖ m. 8. κδ'] λα' Vv. 9. τοῦ κέντρου] τὸ κέντρον M. 12. ἴση] ἴση ἐστίν m. 14. λοιπαί] ΒΑ καὶ ΒΔ ὄψεις ἐπὶ τὸ Β ἥξουσιν m. 16. κε'] λβ' Vv. 18. θῇς]

sit $A\Gamma$ speculum conuexum, oculus autem E, et radii EA, $E\Gamma$ ad Δ, B refracti, ZE autem secundum se ipsum ad E refringatur. radiorum igitur maximi longitudine sunt, qui maxime remoti sunt, minimi autem medii, ut EZ. quare E speculo propius adparet, remotissima autem B et Δ. ergo totum conuexum adparet.



24.

In speculis concauis si in centro oculus ponitur, ipse oculus solus adparet.

sit $A\Gamma\Delta$ speculum concauum, centrum autem eius B, et radii BA, $B\Gamma$, $B\Delta$. itaque $\angle E = Z$. radius igitur $B\Gamma$ refractus ad B ueniet [prop. 2]. et similiter etiam reliqui. ergo ipsum B solum cernitur.



25.

In speculis concauis si in ambitu uel extra ambitum oculus ponitur, oculus non adparet.

sit $A\Gamma B$ speculum concauum, et oculus B in ambitu eius ponatur, radii autem adcidant BA, $B\Gamma$ refringanturque. itaque $\angle M + \Theta > K$, $\angle E + \Lambda > Z$. quare radii BA, $B\Gamma$ ad oculum B non refringentur;

τεθῇ M. τὸ ὄμμα (alt.)] τόμμα V. 20. $A\Gamma B$] $AB\Gamma$ Mm. 21. τό] καὶ ἔστω τό m. 22. μεῖζον v. 23. $E\Lambda$] ΛE m.

ὥστε οὐκ ἀνακλασθήσονται αἱ ΒΑ, ΒΓ ὄψεις ἐπὶ τὸ Β ὄμμα. εἰς τὸ ὄμμα δὲ εἰ ἀνεκλῶντο, ἴσαι ἂν αἱ γωνίαι πρὸς τοῖς Α, Γ ἐγίγνοντο. δειχθήσεται δέ, κἂν ἐκτὸς τῆς περιφερείας γένηται τὸ ὄμμα, τὰ αὐτὰ συμβαίνοντα, τουτέστι τὸ μὴ ὁρᾶσθαι τὸ ὄμμα διὰ τὸ τὰς ἀνακλάσεις μὴ γενέσθαι ἐπ' αὐτό.

κϛ'.

Ἐν τοῖς κοίλοις ἐνόπτροις ἐὰν ἐκβαλὼν διάμετρον τῆς σφαίρας ἐκ τοῦ κέντρου πρὸς ὀρθὰς ἀναγάγῃς καὶ εἰς τὸ ἕτερον μέρος θῇς τὸ ὄμμα, οὐδὲν τῶν ἐν τῷ αὐτῷ μέρει, ἐν ᾧ τὸ ὄμμα ἐστίν, ὀφθήσεται, τουτέστιν οὔτε τῶν ἐπὶ τῆς διαμέτρου οὔτε τῶν ἐκτὸς τῆς διαμέτρου.

ἔστω κοῖλον ἔνοπτρον τὸ ΑΓΔ, διάμετρος δὲ ἔστω τῆς σφαίρας ἡ ΑΔ, καὶ τῇ ΑΔ πρὸς ὀρθὰς ἀνεστάτω ἀπὸ τοῦ κέντρου τοῦ Ζ ἡ ΖΓ, ὄμμα δὲ ἔστω τὸ Β, ὄψις δὲ ἡ ΒΕ. οὐκοῦν ἡ ΒΕ ἀνακλωμένη οὐχ ἥξει οὔτε ἐπὶ τὸ Β οὔτε ἐπὶ τὸ Ζ· ἐν γὰρ ἴσαις γωνίαις ἀνακλᾶται. ἥξει ἄρα ὡς ἡ ΕΘ. ὁμοίως δὲ καὶ ἐὰν ἐντὸς ἐμπέσῃ τὸ ὄμμα, ὅπου τὸ Θ, ἢ ἐπὶ τῆς διαμέτρου, ὅπου τὸ Μ, ἀνακλώμεναι αἱ ὄψεις αἱ ΘΚ, ΜΝ ἥξουσιν ὡς αἱ ΚΛ, ΝΞ. οὐκ ἄρα ὁρᾶται οὐδὲν τῶν ἐν

---

1. ὄψεις] om. m. 2. εἰς — εἰ] εἰ γὰρ εἰς τὸ ὄμμα m. δέ] scr. γάρ. ἄν] om. VMv. αἱ] om. M. αἱ — 3. ἐγίγνοντο] ἐγίγνοντο αἱ πρὸς τοῖς Α, Γ σημείοις γωνίαι· οὐκ εἰσὶ δὲ ἴσαι. οὐδ' ἄρα αἱ ΒΑ, ΒΓ ὄψεις ἐπὶ τὸ Β ὄμμα ἀνακλῶνται m. 4. γένηται] τεθῇ m. 5. τουτέστιν Vv. διά — 6. αὐτό] ὑπὸ πασῶν τῶν ἀνακλωμένων ὄψεων εἰ μὴ ὑπὸ μόνης τῆς διὰ τοῦ κέντρου ἠγμένης m. 6. γίνεσθαι M. 7. κϛ'] λγ' Vv. 10. εἰς] mut. in ἐπί M. 12. οὔτε (pr.)] οὔτε τι m.

διαμέτρου] ο÷ὄ M, ut saepe. 15. καί] κέντρον δὲ τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ m. 16. ἀπό — Ζ] om. m. 17. ὄψεις v, et V, sed corr. m. 2. 20. ἐμπέσει v, τεθῇ m.

si enim ad oculum refringantur, anguli ad A, Γ positi aequales fiant [prop. 2]. demonstrabimus autem, etiam





si oculus extra ambitum sit, eadem adcidere, h. e. ut oculus non cernatur, quia refractiones ad eum non fiunt.

26.

In speculis concauis si ducta diametro sphaerae e centro recta perpendicularis erigitur, et in altera parte oculus collocatur, nihil eorum, quae in eadem parte sunt, in qua oculus, cernetur, h. e. neque eorum, quae in diametro, neque quae extra eam sunt.



sit $A\Gamma\Delta$ speculum concauum, diametrus autem sphaerae sit $A\Delta$, et e centro Z ad $A\Delta$ perpendicularis erigatur $Z\Gamma$, oculus autem sit B, et BE radius. BE igitur refractus neque ad B neque ad Z ueniet; sub aequalibus enim angulis refringitur. itaque cadet ut $E\Theta$. similiter etiam si oculus intra ceciderit in Θ uel in diametro in M, radii ΘK, MN refracti cadent ut $K\Lambda$, $N\Xi$. ergo nihil eorum, quae in eadem parte

τῷ αὐτῷ μέρει, ὅπου ἐστὶ τὸ ὄμμα, οὔτε τῶν ἐπὶ τῆς διαμέτρου οὔτε τῶν ἐκτὸς τῆς διαμέτρου.

κξ'.

Ἐν τοῖς κοίλοις ἐνόπτροις ἐὰν ἐπὶ τῆς διαμέτρου τεθῇ τὰ ὄμματα ἴσον ἀπέχοντα τοῦ κέντρου, οὐδέτερον τῶν ὀμμάτων ὀφθήσεται.

ἔστω κοῖλον ἔνοπτρον τὸ ΑΓΔ, διάμετρος δὲ ἡ ΑΔ, κέντρον δὲ τὸ Ζ, πρὸς ὀρθὰς δὲ ἡ ΖΓ, ὄμματα δὲ τὰ Β, Ε ἴσον ἀπέχοντα τοῦ κέντρου, ὄψις δὲ ἡ ΒΓ. οὐκοῦν ἀνακλωμένη ἥξει ἐπὶ τὸ Ε· ἐν ἴσαις γὰρ γωνίαις ἀνακλᾶται. ἄλλη δὲ οὐδεμία ἥξει ἀνακλωμένη ἀπὸ τοῦ Β ἐπὶ τὸ Ε. εἰ γὰρ ἥξει ὡς ἡ ΒΘ, ἐπεζεύχθωσαν αἱ ΘΕ, ΘΖ· δίχα ἄρα τμηθήσεται ἡ ὑπὸ ΒΘΕ ὑπὸ τῆς ΖΘ, καὶ ἀνάλογον ἔσται ὡς ἡ ΒΘ πρὸς ΘΕ, ἡ ΒΖ πρὸς ΖΕ· ὅπερ ἀδύνατον· ἡ μὲν γὰρ ΒΘ μείζων ἐστὶ τῆς ΘΕ, ἡ δὲ ΒΖ ἴση τῇ ΖΕ. οὐδεμία ἄρα ἥξει ἀνακλωμένη ἀπὸ τοῦ Β ἐπὶ τὸ Ε. μία ἄρα ὄψις μόνον ἀνακλασθήσεται ἐφ' ἑκατέρου τῶν Β, Ε ὀμμάτων, καὶ οὐκ ὀφθήσεται τὸ Ε· οὐ γὰρ συμπεσεῖται ἡ ΒΓ ἐκβαλλομένη τῇ ΒΔ ἐπὶ τὰ Γ, Δ μέρη, ἐφαίνετο δὲ ἕκαστον κατὰ τὴν συμβολὴν μόνον τῶν ὁρωμένων· οὐδὲ ἡ ΕΓ οὐ μὴ συμπέσῃ τῇ ΕΔ ἐπὶ τὰ Γ, Δ μέρη· ἐν γὰρ τοῖς κοίλοις ἐνόπτροις ἕκαστον τῶν ὁρωμένων κατὰ τὴν ἀπὸ τοῦ ὁρωμένου εἰς τὸ κέντρον τῆς σφαίρας ἀγομένην εὐθεῖαν ὁρᾶται.

---

1. ἐστίν Vv. οὔτε] οὔτε τι m. 3. κξ'] λδ' Vv. 5. τὰ ὄμματα] τὸ ὄμμα M. 9. τὰ Β] e corr. M. τοῦ] τοῦ Z m. 11. ἀνακλωμένη — 12. ἥξει] om. Mvm. 12. ἡ] postea add. m. 14. ΒΘΕ] ΒΘΕ γωνία m. ΖΘ] ΖΘ εὐθείας m. ἔσται] ἐστιν M. 15. ΘΕ] τὴν ΘΕ Mm. ΖΕ] τὴν ΖΕ Mm. 16. ἐστίν Vv. ΖΕ] ΕΖ M. 18. μόνον] om. Mm.

sunt, in qua oculus, cernetur neque eorum, quae in diametro, neque quae extra eam sunt.

27.

In speculis concauis si in diametro ponuntur oculi aequaliter a centro distantes, neuter oculorum cernetur.

sit $A\Gamma\Delta$ speculum concauum, diametrus autem $A\Delta$, centrum autem Z, et $Z\Gamma$ perpendicularis, oculi autem B, E a centro aequaliter distantes, radius autem $B\Gamma$. refractus igitur ad E ueniet; sub aequalibus enim angulis refringitur. sed nullus alius refractus a B ad E ueniet. nam si ueniat ut $B\Theta$, ducantur ΘE, ΘZ.



itaque $\angle B\Theta E$ a $Z\Theta$ in duas partes aequales secabitur, et erit $B\Theta : \Theta E = BZ : ZE$; quod fieri non potest; nam $B\Theta > \Theta E$ et $BZ = ZE$. itaque nullus radius refractus a B ad E ueniet. unus igitur solus radius ad utrumque oculum B, E refringetur, nec cernetur E. neque enim $B\Gamma$ producta rectae $B\Delta$ ad partes Γ, Δ uersus concurret, omnia autem, quae cernuntur, in concursu tantum adparebant [prop. 18]. nec $E\Gamma$ rectae EA ad partes Γ, A uersus concurret; in speculis enim concauis omnia, quae cernuntur, secundum rectam ab eo, quod cernitur, ad centrum sphaerae ductam cernuntur.

ἑκατέρου] scr. ἑκάτερον. 20. μέρη] -η e corr. m. 21. ἕκαστον] ἑκάτερον m. 22. ΕΓ] ΕΓ ἐκβαλλομένη m. συμπέσει v, συμπεσεῖται M.

κη'.

Ἐν τοῖς κοίλοις ἐνόπτροις ἐὰν τὴν ἐκ τοῦ κέντρου δίχα τεμὼν καὶ πρὸς ὀρθὰς ἀγαγὼν θῇς τὰ ὄμματα ἴσον ἀπέχοντα τῆς ἐκ τοῦ κέντρου, θῇς δὲ ἢ ἀνὰ μέσον τῆς διαμέτρου καὶ τῆς πρὸς ὀρθὰς ἢ ἐπ' αὐτῆς τῆς πρὸς ὀρθάς, οὐδέτερον τῶν ὀμμάτων φαίνεται.

ἔστω κοῖλον ἔνοπτρον τὸ ΑΓΔ, διάμετρος δὲ ἡ ΑΔ, κέντρον δὲ τὸ Κ, καὶ ἡ πρὸς ὀρθὰς ἡ ΚΓ δίχα τετμήσθω κατὰ τὸ Π, πρὸς ὀρθὰς δὲ αὐτῇ ἔστω ἡ ΕΠΖ, καὶ ὄμματα τὰ Β, Θ μεταξὺ κείμενα τῆς τε διαμέτρου τῆς ΑΔ καὶ τῆς ΕΖ ἐν παραλλήλοις ταῖς ΕΖ, ΒΘ ἴσον ἀπέχοντα τῆς ΚΓ, ὄψις δὲ ἔστω ἡ ΒΓ ἀνακλωμένη ἐπὶ τὸ Θ· ἴσας γὰρ ποιεῖ γωνίας πρὸς τῇ περιφερείᾳ διὰ τὸ παράλληλον εἶναι τὴν ΖΕ τῇ ΒΘ καὶ ἴσην τὴν ΒΝ τῇ ΝΘ. καὶ ἐπιζευχθεῖσαι αἱ ΚΒ, ΚΘ ἐκβεβλήσθωσαν, ἐκβεβλήσθω δὲ καὶ ἡ ΓΒ ἐπὶ τὸ Φ. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ΒΓ τῆς ΒΚ, μείζων ἐστὶν ἡ Ρ γωνία τῆς Ι. ὥστε καὶ ἡ ὑπὸ ΓΒΘ μείζων τῆς ὑπὸ ΘΒΚ, τουτέστι τῆς ὑπὸ ΒΘΚ. οὐκ ἄρα συμπεσεῖται ἡ ΒΓ τῇ ΚΘ. οὐκ ἄρα ὀφθήσεται τὸ Θ· κατὰ γὰρ τὴν συμβολὴν φαίνεται τῶν ΒΓ, ΚΘ.

ἔστω πάλιν τὰ αὐτὰ τῇ ἐπάνω, τὰ δὲ Β, Θ ὄμματα ἔστωσαν ἐπὶ τῆς δίχα καὶ πρὸς ὀρθὰς τεμνούσης τὴν

---

1. κη'] λε' Vv. 3. δίχα] πρὸς ὀρθὰς οὖσαν τῇ διαμέτρῳ δίχα m. ἀγαγών] ἀγαγὼν εὐθεῖαν m. τά] corr. ex τό m. 1 M. 4. ἴσον] μεταξὺ τῆς τε διαχθείσης καὶ τοῦ κέντρου ἴσον m. θῇς — 5. ὀρθάς] om. m. 6. πρὸς ὀρθάς] διαχθείσης m. φαίνεται] φανεῖται m. 8. ἡ (pr.)] om. m. ἡ ΚΓ δίχα] τῇ ΑΔ ἡ ΚΓ καί m. 9. κατά] ἡ ΚΓ δίχα κατά m. πρός — ἔστω] καὶ διὰ τοῦ Π διήχθω τῇ ΚΓ πρὸς ὀρθάς m. αὐτῇ] αὐτῆς VMv. 10. κείμενα] κείσθω m, ἠγμένα M. διαμέτρου — 11. ΕΖ (pr.)] ΕΖ καὶ τοῦ Κ κέντρου m. 13. ἴσας] corr. ex ἴας m. 2 V. 14. εἶναι] om. M. 15. ΒΝ] ΒΗ m.

28.

In speculis concauis si radio sphaerae in duas partes aequales secto et recta perpendiculari ducta oculi a radio sphaerae aequaliter distantes collocantur, siue inter diametrum et perpendicularem siue in ipsa perpendiculari collocantur, neuter oculorum adparet.

sit $A\Gamma\Delta$ speculum concauum, diametrus autem $A\Delta$, centrum autem K, et perpendicularis $K\Gamma$ in Π in duas partes aequales secetur, et ad eam perpendicularis sit $E\Pi Z$, oculi autem B, Θ inter diametrum $A\Delta$ et EZ in parallelis EZ, $B\Theta$ positi aequaliter a $K\Gamma$ distantes, radius autem sit $B\Gamma$ ad Θ refractus;



aequales enim angulos ad ambitum efficit, quia ZE rectae $B\Theta$ parallela est, et $BN = N\Theta$. et ductae KB, $K\Theta$ producantur, producatur autem etiam ΓB ad Φ. et quoniam $B\Gamma > BK$, erit $\angle P > I$. quare etiam $\angle \Gamma B\Theta > \Theta BK$, h. e. $\angle \Gamma B\Theta > B\Theta K$. itaque $B\Gamma$, $K\Theta$ non concurrent. ergo Θ non cernetur; adparet enim in eo puncto, ubi $B\Gamma$, $K\Theta$ concurrunt [prop. 18].

rursus eadem sint, quae supra, et oculi B, Θ in ea recta sint, quae radium in duas partes aequales et

---

τῇ] τήν V. $N\Theta$] Θ M, $H\Theta$ m. 16. ἐκβεβλήσθω] ἐκβεβλείσθω v. καί] om. M. ΓB] $B\Gamma$ M m. 17. μείζων (utr.)] μεῖζον v. 18. $P - I$] ὑπὸ $\Gamma B\Theta$ τῆς ὑπὸ $KB\Theta$ m. $\Gamma B\Theta$] $B\Theta$ M, $B\Theta\Gamma$ m. μεῖζον v, om. m. 19. ΘBK] BK M, $KB\Theta$ m. τουτέστιν V, comp. v. $B\Theta K$] $K\Theta B$ μείζων ἐστίν m. 22. λϛ' V v. ἔστω] ἔστω δή m. τῇ] τοῖς m. 23. ἔστωσαν] om. M. τεμνούσης τήν] τεμούσης τῆς M.

ἐκ τοῦ κέντρου ἐπὶ τῆς ΑΔ. ἐπεὶ οὖν ἴση ἡ μὲν ΒΓ τῇ ΒΖ, ἡ δὲ ΓΘ τῇ ΖΘ, παράλληλος ἂν εἴη ἡ ΒΓ τῇ ΖΘ. οὐκ ἄρα συμπεσεῖται ἡ ΒΓ ὄψις τῇ ἐκ τοῦ κέντρου ἐπὶ τὸ ὁρώμενον, τουτέστι τῇ ΖΘ, ἐπὶ τὰ Θ, Γ μέρη. ὥστε οὐ φαίνεται τὸ Θ ὄμμα· κατὰ γὰρ τὴν συμβολὴν ἐφαίνετο τῶν ΒΓ, ΖΘ.

ἔστω πάλιν τὰ αὐτά, τῆς δὲ διχοτομίας ἀνωτέρω κείσθω τὰ ὄμματα τὰ Β, Γ ἴσον ἀπέχοντα τῆς ἐκ τοῦ κέντρου τῆς ΖΑ. φημὶ δὴ φαίνεσθαι τὰ Β, Γ καὶ τὰ δεξιὰ ἀριστερὰ καὶ τὰ ἀριστερὰ δεξιὰ καὶ τὸ εἴδωλον μεῖζον τοῦ προσώπου καὶ τὸ ἀπόστημα ἀπὸ τοῦ ἐνύπτρου ἔχον μεῖζον τὸ εἴδωλον. ἔστω γὰρ ἡ ΒΑ ὄψις ἀνακλωμένη, καὶ ἐπεζεύχθωσαν ἀπὸ τοῦ Ζ κέντρου ἐπὶ τὰ Β, Γ αἱ ΖΒ, ΖΓ, καὶ ἐκβεβλήσθω ἡ ΒΑ. ἐπεὶ οὖν διχοτομία ἐστὶ τὸ Ν, μείζων ἐστὶν ἡ ΒΖ τῆς ΒΑ καὶ ἡ Κ γωνία τῆς Ε. ἴση δὲ ἡ Κ τῇ Δ· μείζων ἄρα καὶ ἡ Δ τῆς Ε. συμπεσοῦνται ἄρα αἱ ΖΒ, ΓΑ ἐκβληθεῖσαι. συμπιπτέτωσαν κατὰ τὸ Π. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ ΒΑ, ΖΓ συμπεσοῦνται κατὰ τὸ Θ. ὀφθήσεται ἄρα τὸ μὲν Γ ἐπὶ τοῦ Θ, τὸ δὲ Β ἐπὶ τοῦ Π, καὶ φαίνεται τὰ μὲν δεξιὰ ἀριστερά, τὰ δὲ ἀριστερὰ δεξιά. ἀλλὰ μὴν καὶ μείζων ἡ ΘΠ τῆς ΒΓ· παράλληλοι γάρ

---

1. ἐπί] om. m. τῆς] τά M. ἴση] ἴση ἐστίν m. 2. τῇ (utr.)] τῆς M. Post. δέ del. τό v. ΖΘ] ΓΖ m. 4. τουτέστιν V, comp. v. ΖΘ] ΖΘΕ M. 6. τῶν] corr. ex τω m. 1 V. 7. κθ′ m, λζ′ Vv. 11. ἀπό] ὃ ἀπέχει τὸ εἴδωλον m. 12. ἔχον] corr. ex ἔχων v, om. m. τὸ εἴδωλον] τοῦ ἀποστήματος, οὗ ἀπέχει τὸ πρόσωπον m. 15. ἐστί] ἐστίν Vv. Ν] Η Mvm. μείζον v. ΒΖ] ΖΒ Mm. 16. Κ (pr.)] ὑπὸ ΒΑΖ m. Ε] ὑπὸ ΒΖΑ m. ἡ Κ (alt.) — 17. Ε] τῇ μὲν ὑπὸ ΒΑΖ ἡ ὑπὸ ΓΑΖ, τῇ δὲ ὑπὸ ΒΖΑ ἡ ὑπὸ ΓΖΑ, ὅλη ἄρα ἡ ὑπὸ ΒΑΓ ὅλης τῆς ὑπὸ ΒΖΓ μείζων ἐστί m. 16. τῇ] corr.

perpendiculariter secat, h. e. in $AΔ$. iam quoniam $BΓ = BZ$, $ΓΘ = ZΘ$, $BΓ$ et $ZΘ$ parallelae erunt. itaque radius $BΓ$ non concurret rectae e centro ad id, quod cernitur, ductae, h. e. $ZΘ$, ad partes $Θ$, $Γ$ uersus. ergo oculus $Θ$ non adparet; adparebat enim in eo puncto, ubi $BΓ$, $ZΘ$ concurrerent.



rursus eadem sint, oculi autem B, $Γ$ supra punctum, ubi radius in duas partes aequales secatur, positi sint aequaliter a radio ZA distantes. dico, B et $Γ$ adparere, et partes dextras sinistras, sinistras autem dextras, et imaginem facie maiorem maioremque a speculo distantiam habentem. sit enim BA radius refractus, et a centro Z ad B, $Γ$ ducantur ZB, $ZΓ$, et producatur BA. iam quoniam in N in duas partes aequales secta est AZ, erit $BZ > BA$ et $\angle K > E$. uerum $\angle K = Δ$; quare etiam $\angle Δ > E$. itaque ZB, $ΓA$ productae concurrent. concurrant in $Π$. eadem de causa etiam BA, $ZΓ$ in $Θ$ concurrent. ergo $Γ$ in $Θ$ cernetur, B autem in $Π$, et partes dextrae sinistrae adparent, sinistrae autem dextrae. iam uero etiam $ΘΠ > BΓ$; sunt enim parallelae. ergo imago



---

ex δή M. μεῖζον v. 20. τοῦ (pr.)] corr. ex τό M. 22. μήν] om. M. ΘΠ] ΠΘ m.

εἰσιν. τὸ ἄρα εἴδωλον φαίνεται μεῖζον καὶ μεῖζον ἀπέχον τοῦ ἐνόπτρου· μείζων γὰρ ἡ ΜΑ τῆς ΑΛ.

ἐὰν δὲ ἔξω τῆς διαμέτρου τεθῇ τὰ ὄμματα, τὰ δεξιὰ φαίνεται δεξιὰ καὶ τὰ ἀριστερὰ ἀριστερὰ καὶ τὸ εἴδωλον ἔλασσον τοῦ προσώπου καὶ ἐν τῷ ἀνὰ μέσον τοῦ προσώπου καὶ τοῦ ἐνόπτρου.

ἔστω γὰρ ὄμματα τὰ Β, Γ, κέντρον δὲ τὸ Ζ τοῦ ἐνόπτρου, καὶ τῇ διαμέτρῳ πρὸς ὀρθὰς ἔστω ἡ ΑΖΔ, καὶ ταύτῃ πρὸς ὀρθὰς ἡ ΒΓ, καὶ ἴση τῇ ΒΑ ἔστω ἡ ΑΓ, καὶ ὄψις ἡ ΒΔ ἀνακλωμένη ἐπὶ τὸ Γ καὶ διὰ τοῦ κέντρου αἱ ΒΖΚ, ΓΖΕ, καὶ ἀπὸ τῶν Ε, Κ ἡ ΚΕ ἐπεζεύχθω. οὐκοῦν τὸ μὲν Β ἐπὶ τοῦ Κ φαίνεται, τὸ δὲ Γ ἐπὶ τοῦ Ε. τὰ ἄρα δεξιὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἀριστερὰ φαίνεται καὶ τὸ ΕΚ εἴδωλον ἔλασσον τοῦ ΒΓ προσώπου· παράλληλος γάρ ἐστιν ἡ ΕΚ τῇ ΒΓ· καὶ ἀνὰ μέσον τοῦ ἐνόπτρου καὶ τοῦ προσώπου φαίνεται τὸ εἴδωλον.

ἀναγομένου δὲ τοῦ προσώπου ἔτι ἔλασσον φαίνεται τὸ εἴδωλον. ἔστω γὰρ τὸ ΜΝ πρόσωπον τὸ αὐτὸ τῷ ΒΓ ἀφεστηκὸς ἀπὸ τοῦ ΒΓ κείμενον ὁμοίως. οὐκοῦν

---

1. *εἰσι* Mm. 2. *μεῖζον* v. 3. *λ'* m, *λη'* Vv. 4. *δεξιὰ φαίνεται* m. 5. *ἔλαττον* M. *μέσον*] *μέσῳ* Vv. 7. *τοῦ ἐνόπτρου τὸ Ζ* m. 8. *ΑΖΔ*] *ΑΔ* V, sed corr. m. 1. 9. *τῇ ΒΑ ἴση* m. 11. *ΒΖΚ*] *ΒΖΕ* M. *ἀπό — ΚΕ*] om. m. *ἐπεζεύχθω ἡ ΕΚ* m. 12. *Β*] *Γ* m. *τοῦ*] corr. ex *τό* M. *Κ*] *Ε* M. 13. *Γ*] *Β* m. *καί*] *φαίνεται καί* m. 14. *φαίνεται*] om. m. 18. *ἔλαττον* M. 20. *ΒΓ* (alt.)] *ΒΓ καί* m. *οὐκοῦν*] *ὀκοῦν* V, corr. m. 1.

maior adparet, et eadem magis distans a speculo; nam $MA > A\Lambda$.

sin extra diametrum ponuntur oculi, partes dextrae dextrae adparent, sinistrae autem sinistrae, et imago facie minor interque faciem speculumque posita.

oculi enim sint B, Γ, speculi autem centrum Z, et ad diametrum perpendicularis sit $AZ\Delta$, ad eam



autem perpendicularis $B\Gamma$, et sit $BA = A\Gamma$, $B\Delta$ autem radius ad Γ refractus, et BZK, ΓZE per centrum ductae, ab E, K autem ducatur KE. itaque B in K, Γ autem in E adparet. ergo partes dextrae dextrae et sinistrae sinistrae adparent, imago autem EK facie $B\Gamma$ minor; EK enim rectae $B\Gamma$ parallela est. et inter speculum faciemque imago adparet.

ἡ ἀπὸ τοῦ Μ ἐπὶ τὸ Ζ κέντρον ἐπιζευχθεῖσα καὶ ἐκβληθεῖσα ἀνώτερον πεσεῖται τοῦ Κ ὡς τὸ Λ, ἡ δὲ ἀπὸ τοῦ Ν ἐπὶ τὸ Ζ ἀνώτερον τοῦ Ε ὡς τὸ Θ. φαίνεται ἄρα τὸ ΜΝ ὡς τὸ ΘΛ. καί ἐστιν ἔλασσον τὸ ΘΛ τοῦ ΕΚ καὶ ἔγγιον τοῦ ἐνόπτρου.

κθ'.

Δυνατόν ἐστιν ἔνοπτρον κατασκευασθῆναι ὥστε ἐν τῷ αὐτῷ φαίνεσθαι πλείω πρόσωπα, τὰ μὲν μείζονα, τὰ δὲ ἐλάσσονα, καὶ τὰ μὲν ἔγγιον, τὰ δὲ πορρώτερον, καὶ τῶν μὲν τὰ δεξιὰ δεξιά, τὰ δὲ ἀριστερὰ ἀριστερά, τῶν δὲ τὰ ἀριστερὰ δεξιά, τὰ δὲ δεξιὰ ἀριστερά.

ἔστω γὰρ ἐπίπεδον τὸ ΑΜ. οὐκοῦν ἐν τούτῳ γένοιτ' ἂν κυρτὰ μὲν ἔνοπτρα οἷα τὰ ΑΟΓ, ΘΡΚ, κοῖλα δὲ οἷα τὰ ΓΔΕ, ΖΗΘ, ἐπίπεδα δὲ οἷα τὰ ΕΖ,



ΛΜ. τεθέντος οὖν τοῦ προσώπου, ὅπου τὸ Ν, φαίνεται ἀπὸ μὲν τῶν ἐπιπέδων ἴσα τὰ εἴδωλα καὶ ἴσον ἀπέχοντα, ἀπὸ δὲ τῶν κυρτῶν ἐλάσσονα καὶ ἔλασσον ἀπέχοντα, ἀπὸ δὲ τῶν κοίλων παντοδαπῶς, καθάπερ δέδεικται.

---

2. ὡς τό] ἕως τοῦ m. Λ] om. M lac. rel. 3. Ν] Ε M. ὡς] ἕως VMvm. τό (alt.)] V, et v seq. ras.;

facie autem retracta etiam minor imago adparet. sit enim MN eadem facies ac $B\Gamma$, sed a $B\Gamma$ remota, et similiter posita. recta igitur ab M ad centrum Z ducta producta supra K cadet uelut in Λ, recta autem ab N ad Z ducta supra E uelut in Θ. itaque MN ut $\Theta\Lambda$ adparet, et $\Theta\Lambda < EK$ speculoque propior.

29.

Fieri potest, ut speculum construatur eius modi, ut in eodem complures facies adpareant, aliae maiores, aliae minores, et aliae propiores, aliae longinquiores, et aliarum partes dextrae dextrae, sinistrae autem sinistrae, aliarum partes sinistrae dextrae, dextrae autem sinistrae.

sit AM planum. in eo igitur construi possunt conuexa specula ut $A O \Gamma$, $\Theta P K$, concaua autem ut $\Gamma\Delta E$, $ZH\Theta$, plana autem ut EZ, ΛM. facie igitur in N posita in planis speculis imagines aequales aequaliterque distantes adparent [prop. 19], in conuexis autem minores minusque distantes [propp. 20—21], in concauis autem uarie, ut demonstratum est [propp. 24—28].

τοῦ Mm. Θ] Θ. καὶ ἐπεζεύχθω ἡ ΘΛ m. 4. τό (pr.) — ΘΛ] τὰ M, N κατὰ τὰ Θ, Λ m. ἔλαττον M. 5. EK] EM M. 6. κθ'] λθ' Vv, λα' m. 8. προσώπων M. 10. τῶν] m, τῷ Vv, τά M. τά (pr.)] om. M. τὰ δέ] τῷ δὲ τά Vv. 11. τῶν — ἀριστερά (alt.)] om. VMv. ἀριστερὰ δεξιά] δεξιὰ ἀριστερά m. δεξιὰ ἀριστερά] ἀριστερὰ δεξιά m. 12. οὐκοῦν] καί Mm. 13. γένοιτ' ἄν] γενέσθω m. κυρτά] κοῖλα m. 14. κοῖλα] κυρτά m. τά (pr.)] supra scr. m. 15. ΛM] KM m. ὅπου τό] ἄνωθεν τοῦ m. N] ⊢ V, H Mvm. 16. εἴδωλα] ἴδωλα V. 17. ἐλάσσονα] ἐλάττονα M. ἔλασσον] ἔλαττον M. 18. καθάπερ] καὶ καθάπερ M.

λ'.

Ἐκ τῶν κοίλων ἐνόπτρων πρὸς τὸν ἥλιον τεθέντων πῦρ ἐξάπτεται.

ἔστω κοῖλον ἔνοπτρον τὸ ΑΒΓ, ἥλιος δὲ ὁ ΕΖ, κέντρον δὲ τοῦ κατόπτρου τὸ Θ, καὶ ἀπό τινος σημείου τοῦ Δ ἐπιζευχθεῖσα μὲν ἐπὶ τὸ Θ κέντρον ἡ ΔΘ ἐκβεβλήσθω ἐπὶ τὸ Β, προσπεπτωκέτω δὲ ἡ ΔΓ ἀκτὶς καὶ ἀνακεκλάσθω ἐπὶ τὸ Κ. ἀνακλασθήσεται δὴ ἐπάνω τοῦ Θ κέντρου· ἡ γὰρ γωνία ἡ πρὸς τῇ περιφερείᾳ ἡ Π ἐλάσσων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ λοιπῆς τῆς ὑπὸ ΒΓΔ. καὶ ἔστω ἡ ΑΒ περιφέρεια ἴση τῇ ΒΓ, καὶ ἀπὸ τοῦ Δ ἄλλη τις ἀκτὶς προσπιπτέτω ἡ ΔΑ. φανερὸν οὖν, ὅτι ἀνακλωμένη ἡ ΑΔ ἀκτὶς πεσεῖται ἐπὶ τὸ Κ διὰ τὸ ἴσην εἶναι τὴν ΑΒ περιφέρειαν τῇ ΒΓ. ὁμοίως δὲ δειχθήσεται, ὅτι πᾶσαι αἱ ἀπὸ τοῦ Δ προσπίπτουσαι πρὸς τὸ ἔνοπτρον καὶ ἴσας ἀπολαμβάνουσαι εἰς τὸ αὐτὸ συμπεσοῦνται τῇ ΒΘ ἀνώτερον τοῦ Θ.

ἔστω πάλιν κοῖλον ἔνοπτρον τὸ ΑΒΓ, ἥλιος δὲ ὁ ΔΕΖ, καὶ ἀπό τινος σημείου τοῦ Ε διὰ τοῦ Θ κέντρου ἔστω ἡ ΕΘΒ, καὶ ἀπ' ἄλλων [διὰ] τῶν Δ, Ζ αἱ ΔΘΓ, ΖΘΑ. οὐκοῦν προδεδείχαμεν, ὅτι αἱ ἀπὸ τοῦ Ε ἀκτῖνες συμπεσοῦνται εἰς ἑαυτὰς διὰ τὰς Π, Ρ γωνίας ἴσας οὔσας· διάμετροι γάρ εἰσιν· αἱ δὲ ἀπὸ τοῦ Ζ διὰ τὰς

---

1. λ'] μ' Vv, λβ' m. 7. προσπεπτωκέτο v. ΔΓ] ΔΓΚ V. 8. δή] δέ M. 10. ἐλάττων M. ἐστίν Vv. τῆς (pr.)] τῇ V. τῆς λοιπῆς τῆς V. 13. ΑΔ] ΔΑ m. πεσεῖται] προσπεσεῖται M. 15. ὁμοίως] M V. 16. πρὸς ἀκτῖνες πρὸς m. ἴσας περιφερείας ἀπολαμβάνουσαι ἑκατέρωθεν τοῦ Β m. 17. αὐτό] om. M lac. rel. 19. μα' Vv.

30.

E speculis concauis aduersus solem conuersis ignis adcenditur.

sit $\Delta B \Gamma$ speculum concauum, EZ autem sol, et centrum speculi Θ, et a puncto aliquo Δ ad centrum Θ ducta $\Delta\Theta$ ad B producatur, adcidat autem $\Delta\Gamma$ radius et ad K refringatur. refringetur igitur supra centrum Θ; nam $\angle\, \Pi$ ad ambitum positus minor est reliquo angulo ad ambitum posito, scilicet $B\Gamma\Delta$. et sit arcus ΔB arcui $B\Gamma$ aequalis, et a Δ alius radius adcidat ΔA. manifestum est igitur, radium $A\Delta$ refractum ad K cadere, quia arcus ΔB arcui $B\Gamma$ aequalis est. eodem modo demonstrabimus, omnes radios a Δ ad speculum adcidentes et aequales arcus abscindentes in eodem puncto supra Θ posito cum recta $B\Theta$ concurrere.



rursus $\Delta B \Gamma$ speculum concauum sit, sol autem ΔEZ, et a puncto aliquo E per Θ centrum ducta sit $E\Theta B$, ab aliis autem Δ, Z rectae $\Delta\Theta\Gamma$, $Z\Theta\Delta$. antea igitur demonstrauimus, radios ab E ductos per se ipsos refringi, quia $\angle\, \Pi = P$ [prop. 3]; diametri

---

λγ′ m. 21. ἄλλων] -ων e corr. v. διά] om. m. τῶν] τό V. αἱ] καί V. 22. προδεδίχαμεν v. 23. εἰς] ἐφ' M. τάς] -ς e corr. V, τῆς M. 24. διάμετροι γάρ εἰσιν] om. m.

Κ, Λ γωνίας, αἱ δὲ ἀπὸ τοῦ Δ ἐπὶ τὴν ΔΓ διὰ τὰς Ν, Ξ γωνίας ἴσας οὔσας. ὅτι δὲ πᾶσαι αὐταὶ εἰς ἑαυτὰς ἀνακλῶνται, δῆλον· ἐκ τοῦ γὰρ κέντρου οὖσαι ἡμικύκλια ποιοῦσιν, αἱ δὲ τῶν ἡμικυκλίων γωνίαι ἴσαι εἰσίν· δι' ἴσων ἄρα γωνιῶν αἱ ἀνακλάσεις γίγνονται· εἰς ἑαυτὰς οὖν ἀνακλῶνται. πᾶσαι ἄρα συμπεσοῦνται ἀπὸ πάντων τῶν σημείων ἐπὶ τὰς διὰ τοῦ κέντρου καὶ ἐν τῷ κέντρῳ [ἀκτῖνας]. τούτων οὖν τῶν ἀκτίνων ἐκθερμαινομένων περὶ τὸ κέντρον πῦρ ἀθροίζεται. ὥστε ἐνταῦθα στύππιον τεθὲν ἐξαφθήσεται.

---

1. *Κ, Λ*] *πρὸς τῷ Λ* m. *γωνίας*] *γωνίας ἴσας οὔσας ὁμοίως ἀλλήλαις* m. *ἐπὶ τὴν ΔΓ*] om. m. 2. *Ν, Ξ*] *πρὸς τῷ Γ* m. *ἴσας οὔσας*] *οὔσας ἴσας* M, *διάμετροι γάρ εἰσι πᾶσαι* m. 3. *ἐκ τοῦ γάρ*] *ἐκ γὰρ τοῦ* M, *διὰ γὰρ τοῦ* m. *οὖσαι*] *ἰοῦσαι* m. 4. *ἡμικύκλια*] *ἡμικύκλιον* M. *ποιοῦσι* M. *τῶν ἡμικυκλίων*] *τῷ ἡμικυκλίῳ* M. *γωνίαι*] *γωνίαι αἱ γινόμεναι πρὸς τοῖς πέρασι τῶν διαμέτρων καὶ περιεχόμεναι ὑπ' αὐτῶν τε τῶν διαμέτρων καὶ τῶν περιφερειῶν* m. 5. *εἰσί* Mm. *γίνονται* M, *γίνονται καὶ διὰ τοῦτο* m. 6. *οὖν*] om. m. 8. *ἀκτῖνας*] deleo. 10. *στύππιον*] *καὶ ὑππιον* M, supra scr. m. 2: *ϛύπιον*.

In fine: *Εὐκλείδου κατοπτρικά* V, *τέλος* m.

enim sunt; radios autem a Z ductos, quia $\angle K = \Lambda$, et radios a Δ ductos per $\Delta\Gamma$, quia $\angle N = \Xi$. omnes



autem per se ipsos refringi, manifestum est; nam cum e centro ducti sint, semicirculos efficiunt, et anguli semicirculorum aequales sunt; sub aequalibus igitur angulis refractiones fiunt; itaque per se ipsos refringuntur [prop. 3]. omnes igitur radii ab omnibus punctis in radios per centrum ductos et in centro cadent. his igitur radiis incalescentibus in centro ignis colligitur. ergo stuppa ibi posita adcendetur.

SCHOLIA IN CATOPTRICA.

1. *Θεωρουμένου τινὸς ὕψους* p. 286, 4] *ἢ πάλιν ἑτέρου τινὸς σώματος πρὸς ὀρθὰς γωνίας ἱσταμένου τῷ ἐπιπέδῳ, ἐν ᾧ καὶ τὸ ἔνοπτρον κεῖται.*

2. *Τῆς σφαίρας* p. 286, 15] *εἶπε δὲ τὸ κέντρον τῆς σφαίρας καὶ οὐ τὸ κέντρον τοῦ ἐνόπτρου, ἐπειδὴ σφαιροειδές ἐστι τὸ κυρτὸν ἔνοπτρον. ὥσπερ οὖν ἐπὶ τῆς σφαίρας ἔχει, ὅτι, ὅθεν ἂν νοήσῃ τις ἐπ' αὐτὴν ἐκβαλλόμενόν τι βάρος ἀπὸ τῆς ἐπιφανείας τῆς σφαίρας, ἐκεῖνο τὸ βάρος διὰ τοῦ κέντρου ἐλεύσεται· νεύσει γὰρ ἀεὶ φυσικῶς πρὸς τὸ μέσον, καθὰ καὶ τῷ Θεοδοσίῳ ἀποδέδεικται ἐν τοῖς Σφαιρικοῖς· οὕτω δὴ καὶ ἐπὶ τοῦ σφαιροειδοῦς ἐνόπτρου ἐὰν πρὸς ὀρθὰς γωνίας ἀπό τινος ὁρωμένου ἀφεθῇ τις εὐθεῖα, πρὸς τὸ κέντρον τοῦ ἐνόπτρου πεσεῖται.*

3. *Οὐκέτι ὁρᾶται* p. 286, 12] *οὐκοῦν ἐν τοῖς ἐπιπέδοις ἐνόπτροις ἕκαστον τῶν ὁρωμένων ὁρᾶται κατ' ἐκεῖνο τὸ μέρος, καθ' ὃ σύμπτωσις γίνεται ἐκβαλλομένων τῆς τε ὄψεως καὶ τῆς ἀπὸ τοῦ ὁρωμένου καθέτου, ὥσπερ ἐπὶ τοῦ ὑποκειμένου ὑποδείγματος τὸ Δ*

1. p. 2. V¹p. 3. Vpq.

7. *αὐτήν*] p, *αὐτόν* V. 8. *τι*] p, om. V. 9. *ἐκεῖνο*] V, *ἐκεῖ* p. *νεύσει*] dubium et in V et in p. 12. *σφαιροειδοῦς*] V, *σφαιρικοῦ* p. 15. *σχόλιον* add. m. 2 V. 19. *ὑποκειμένου*] m. nr. 4. *Δ τό*] Vq, *δέ* p.

τὸ ὁρώμενον ἔξω δοκεῖ ἔσω ὁρᾶσθαι ἐν τῷ ἐσόπτρῳ κατὰ τὴν σύμπτωσιν.



4. Τοῦ Ε καταληφθέντος οὐκέτι ὁρᾶται τὸ ὁρώμενον, ὃ κατὰ μὲν τὸ ἀληθὲς ἔξω ὁρᾶται τὸ Δ, δοκοῦν δὲ ὁρᾶσθαι πρὸς τῇ συμπτώσει.

5. Τοῦ Ε καταληφθέντος οὐκέτι ὁρᾶται τὸ ὁρώμενον, ὅ ἐστι τὸ Δ, ὃ κατὰ μὲν τὸ ἀληθὲς ὁρᾶται πρὸς τῷ τόπῳ τῷ ἀντικρὺ τοῦ Β, φαινόμενον δὲ πρὸς τῇ συμπτώσει.

6. Οὐκέτι ὁρᾶται p. 286, 15] οὐκοῦν ἐν τοῖς κυρτοῖς ἐνόπτροις ἕκαστον τῶν ὁρωμένων ὁρᾶται κατ' ἐκεῖνο τὸ μέρος, καθ' ὃ σύμπτωσις γίνεται ἐκβαλλομένων τῆς τε ὄψεως καὶ τῆς ἀπὸ τοῦ ὁρωμένου ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένης εὐθείας.

7. Ὁ δὲ Ἀρχιμήδης οὕτω λέγει, ὅτι ἡ Ζ γωνία τῇ Ε ἢ ἴση ἐστὶν ἢ ἐλάττων ἢ μείζων. ἔστω πρότερον μείζων ἡ Ζ τῆς Ε· ἐλάττων ἄρα ἡ Ε. ὑποκείσθω οὖν πάλιν ὄμμα τὸ Δ, καὶ ἀπὸ τοῦ ὄμματος πάλιν ἀνακεκλάσθω ἐπὶ τὸ ὁρώμενον τὸ Β. ἔσται ἄρα ἡ Ε γωνία μείζων τῆς Ζ. ἦν δὲ καὶ ἐλάττων· ὅπερ ἄτοπον.

8. Ἀλλὰ καὶ ἡ Θ τῇ Λ p. 288, 16] ἢ ὅτι ἡ κερατοειδὴς γωνία ἁπάσης ὀξείας γωνίας ἐλάττων ἐστίν, ἢ

---

4. V in mg. inf., pq. 5. V in mg. inf., pq. 6. Vpq. 7. Vp (ad prop. 1) (q). 8. Vp(q).

---

5. ὅ] om. q. 12. *σχόλιον* p, m. 2 V. 18. ἢ (pr.)] m. 2 V. ἢ (sec.)] m. 2. V. ἢ *μείζων*] m. 2 V. 19. *μεῖζον* V. 24. ὀξείας] ὀξίας postea ins. m. 1 V, om. p.

ἐὰν ἀπὸ τοῦ κέντρου ἐπιζεύξωμεν ἐπὶ τὴν ἁφήν, ὅλῃ τῇ ὑπὸ Κ, Λ ἴση ἔσται ἡ τοῦ ἡμικυκλίου τῇ τοῦ ἡμικυκλίου ἴση ἐφαρμοζομένου. λοιπὴ ἄρα ἡ Θ τῇ Λ ἴση.

9. Ἀνίσους p. 290, 17] ἤγουν ὀξεῖαν καὶ ἀμβλεῖαν, ὅπερ γίνεται πλαγίως εἰσβαλλούσης τῆς ἀκτῖνος. 5

10. Ἐπεὶ οὖν ἡ Θ τῆς Μ μείζων, κοινὴ προσκείσθω ἡ Κ, Λ. δύο ἄρα αἱ Θ, Κ, Λ δύο τῶν Κ, Λ, Μ μείζους. αἱ δὲ Κ, Λ, Μ δύο ὀρθαῖς ἴσαι· αἱ Θ, Κ, Λ ἄρα δύο ὀρθῶν μείζους. τὰς δὲ ἀπ' ἐλαττόνων ἢ δυεῖν ὀρθῶν συμπίπτειν. 10

11. Σχόλιον. ἐπειδὴ γάρ, ὅση ἐστὶν ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ ἔνοπτρον εὐθεῖα, τοσαύτη ἐστὶ καὶ ἡ ἀντανακλωμένη ἀπὸ τοῦ ἐνόπτρου πρὸς ἴσας γωνίας αὐτῇ διὰ τὸν ὅρον, ἔστι διὰ τοῦτο ἡ μὲν ΒΓ τῇ ΓΔ ἴση, ἡ δὲ ΒΑ τῇ ΑΕ, ἐπειδὴ τὸ ὄμμα πρὸς τῷ Β 15 ἐστιν. ἄνισος δὲ ἡ ΒΓ τῇ ΒΑ· ἄνισος ἄρα καὶ ἡ ΓΔ τῇ ΑΕ. οὐκ ἄρα συμπεσοῦνται διὰ τοῦτο διὰ τὸ τὴν μὲν μείζονα εἶναι, τὴν δὲ ἐλάττονα. οὐδὲ ἐξέσται αὐξῆσαι τὴν ΓΔ καὶ ἀγαγεῖν ἕως τοῦ Ε· τοσαύτη γὰρ εἶναι ὀφείλει, ὅσηπερ καὶ ἡ ΒΓ εὐθεῖα ἡ ἀκτίς, το- 20 σαύτης δὲ αὐτῆς ὑποκειμένης πρὸς τὴν ΑΕ οὐ γενήσεται σύμπτωσις.

12. Ἴσαι ἄρα εἰσίν p. 294, 17] κατὰ τὸ ἐφαρμόζεσθαι τὰ ἡμικύκλια.

---

9. V¹p. 10. V (ad prop. 4 part. pr.) (q). 11. V¹ (ad eandem). 12. Vq¹.

---

2. Post ἔσται deest ἡ Κ, Θ. ἀλλ'. 5. πλαγίως] V, πάντως p. 6. Θ] e corr. m. 2 V. 11. ὅση] ἴση V? 16. Post ἐστιν del. μείζων δὲ ἡ ΒΑ V. 18. Ante οὐδέ add. αφ? V.

13. *Μείζων ἡ Ζ γωνία* p. 296, 4] *ἐπειδὴ παντὸς κύκλου τμήματος αἱ γωνίαι ἴσαι εἰσίν· οἷον τμήματος τοῦ ΑΒΓ ἐὰν τέμνωμεν δίχα τὴν ΑΒ οἷον κατὰ τὸ Ν καὶ πρὸς ὀρθὰς ἀναστήσωμεν τὴν ΝΓ, ἐφαρμόζουσιν αἱ πρὸς τοῖς Ζ, Β γωνίαι, καὶ κατὰ τὸν τῶν ἐφαρμοζόντων λόγον καὶ ἴσαι ἔσονται, ἐπειδὴ καὶ τὸ ΓΝΒ ἐφαρμόζει τῷ ΓΝΑ. διὰ τὰ αὐτὰ καὶ αἱ τοῦ ΓΒ τμήματος γωνίαι ἴσαι εἰσίν. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ ὑπὸ ΖΒΓ γωνία τῆς ὑπὸ ΓΒΡ, μείζων καὶ ἡ Ζ τῆς Θ· ἴση γὰρ ἡ μὲν Ζ τῇ ὑπὸ ΖΒΓ γωνίᾳ, ἡ δὲ ὑπὸ ΓΒΡ τῇ πρὸς τῷ Γ. καὶ ταῦτα μὲν ὡς ἐπὶ τοῦ ῥητοῦ. ὅτι δὲ καθόλου ἡ τοῦ μείζονος τμήματος γωνία οἷον ὡς ἡ ὑπὸ ΓΔΖ μείζων ἐστὶν τῆς τοῦ ἐλάττονος τμήματος γωνίας τῆς ὑπὸ ΕΖΘ, δείξωμεν οὕτως· ἔστω γὰρ ἡ ὑποκειμένη καταγραφὴ κέντρου ὄντος τοῦ Η. ἐπεὶ οὖν αἱ τῶν ἡμικυκλίων γωνίαι ἴσαι εἰσὶν κατὰ τὸν τῶν ἐφαρμοζόντων λόγον, ἴση ἡ ὑπὸ ΚΔΘ τῇ ὑπὸ ΛΖΘ, ὧν ἡ ὑπὸ ΚΔΓ ἐλάττων ἐστὶ τῆς ὑπὸ ΛΖΕ· ἐπὶ ἐλάττονος γὰρ περιφερείας βέβηκεν τῆς ΓΚ· λοιπὴ ἄρα ἡ ὑπὸ ΓΔΘ μείζων ἐστὶ τῆς ὑπὸ ΕΖΘ. ὅπου γίνεται γὰρ τὸ ἔλαττον, ἐκεῖ τὸ μεῖζον.* o). *ἔστι δὲ αὐτόθεν*





13. V(q). Fig. pr. om. V.

3. *τήν*] *τόν* V. 6. *καί*] om. V. 26. *γίνεται*] $\gamma^{\times}$ V. 27. o)] h. e. *ὅπερ ἔδει δεῖξαι.* *ἔστι*] sqq. om. q.

ἐκ τοῦ ἐν τῷ γ' Εὐκλείδου· ἐν κύκλῳ ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ καὶ τὰ ἑξῆς [III, 31].

14. *Τοῦ γὰρ μείζονος τμήματος ἡ γωνία. καὶ πάλιν ἐὰν τὴν ἀπὸ τοῦ κέντρου ἐπιζεύξωμεν ἐπὶ τὰ Γ, Α, κατὰ τὰ αὐτὰ ἔσται.*

15. *Αἱ ἄρα Ζ, Η* p. 296, 5][1]) *ἐὰν γὰρ ἀπὸ τοῦ κέντρου ἐπὶ τὸ Α καὶ Γ ἐπιζεύξωμεν, αἱ γινόμεναι πρὸς τῷ Α τῶν ἡμικυκλίων δύο γωνίαι, τουτέστιν αἱ γ̄ ἅμα αἱ Η, Λ, Ζ, ταῖς γινομέναις πρὸς τῷ Γ τῶν ἡμικυκλίων δύο γωνίαις, τουτέστιν ταῖς τρισὶν ἅμα ταῖς Κ, Μ, Θ, ἴσαι εἰσίν· ὧν αἱ Η, Ζ μείζονες ἐδείχθησαν τῶν Κ, Θ· λοιπὴ ἄρα ἡ Λ λοιπῆς τῆς Μ ἐλάττων ἐστίν· ὅπου γὰρ τὸ μεῖζον, ἐκεῖ τὸ ἔλαττον.*

16. *Ἡ δὲ Π τῆς Ο* p. 298, 7] *ἐὰν ἐπιζεύξωμεν ἀπὸ τοῦ κέντρου ἐπὶ τὰ Α, Γ, ὡς ἐν τῷ σχολίῳ τοῦ πρὸ αὐτοῦ* [15].

17. *Φανερὸν δέ* p. 298, 13] *ἐπεὶ γὰρ ἴσης οὔσης τῆς ΑΘ τῇ ΓΚ ἴση ἐδείχθη καὶ ἡ Π τῇ Ο, μείζονος δὲ οὔσης τῆς ΑΘ τῆς ΓΚ ἐλάσσων ἐδείχθη ἡ Ο τῆς Π, ἐὰν ἡ σύμπτωσις ἐπὶ τῆς περιφερείας γένηται ὡς κατὰ τὸ Σ, ἴση ἔσται ἡ ΣΘ τῇ ΣΚ ἢ ἐλάττων ἡ ΣΘ τῆς*

---

1) Huc refertur in Vq, sed pertinet ad *λοιπὴ ἄρα* p. 296, 7.

---

14. V(q[1]). 15. V(q). 16. V(q[1]). 17. V(q).

---

1. *ἡ*] corr. ex *εἰ* m. 2 V. *ἐν* (tert.)] *ε̄* V. 3. *μείζωνος* V. 4. *κέντρου*] *ιε* V, *ε*? m. 2. 7. *γεινόμεναι* V. 9. *Λ*] *Α* V. *γεινομέναις* V.

ΣΚ· αἱ γὰρ γωνίαι τὸν αὐτὸν λόγον ἔχουσιν ταῖς περιφερείαις, ὡς ἐν τῷ ϛ' τῶν στοιχείων [33]· *ὅπερ*



ἀδύνατον. πολλῷ δὲ πλέον οὐδὲ ἐκτὸς συμπεσοῦνται ὡς ἐπὶ τῆς β' καταγραφῆς· πολλῷ γὰρ τὸ ἀδύνατον.

18. *Αὕτη ἡ καταγραφὴ οὐ κατὰ τὰ ἀποδειχθέντα ἐστὶν ἐκβαλλομένων τῶν ὄψεων καὶ τῶν ὁρωμένων, οὐδὲ ἡ τοῦ βιβλίου, ἀλλὰ αὕτη κατὰ τὸ ἐν τοῖς ὅροις ἐκβαλλομένων τῶν ὄψεων καὶ καθέτων ἀγομένων ἀπὸ τῶν ὁρωμένων καὶ ἐκβαλλομένων, καθὸ ἡ σύμπτωσις γίνεται, ὁρωμένων τῶν ὁρωμένων.*

19. *Δυνατὸν καί, ὡς ἔχει ἡ καταγραφή, προβῆναι τὴν δεῖξιν. ἐπειδὴ γὰρ ἀνωτέρα ἐστὶν ἡ ΒΑ τῆς ΒΓ· ἐὰν γὰρ ἄνωθεν διὰ αὐτῶν ἀγάγωμεν κάθετον, τὰ κατὰ τῆς ΒΑ τὰ ἀνώτερά ἐστι τῆς καθέτου· τὸ ἀπὸ τῆς ἀνωτέρας ὁρώμενον, ὅ ἐστι τὸ Δ, τὸ ἀνώτερόν ἐστιν.*

20. *Καὶ τοῦτο ὁμοίως τῷ ἀνωτέραν εἶναι τὴν ΒΑ τῆς ΒΓ. ἐὰν δὲ κατὰ τὸ ἐν τοῖς ὅροις ἐπὶ τῶν κυρτῶν, ὅτε ἕκαστον τῶν ὁρωμένων ἐν αὐτοῖς ὁρᾶται,*

---

18. V(q); ad prop. 9. 19. V(q); ad schol. nr. 18. 20. V(q); ad prop. 10.

---

4. *ἀδύνατον*] sc. *μεῖζον*. 7. *ἀλλά*] om. q. 8. *ἐκβαλλομένων*] q, *ἐβαλλομένων* V. 12. *ἀνωτέρα*] *ἀνωτε̅ρ̅* V, *ἀνωτέρω* q. 14. *ἀνώτερα*] *ἀνωτε̅ρ̅* V, *ἀνωτέρω* q.

καθὸ ἡ σύμπτωσις γίνεται ἐκβαλλομένων τῆς ὄψεως καὶ τῆς ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένης, ἄλλως ἔσται ἡ καταγραφή· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

21. Κατὰ τὸ σχόλιον τὸ ἐν τῷ α′ [8].

22. Ὀφθήσεται ἄρα ἐπ' εὐθείας p. 314, 5] ἐπειδὴ τὸ Α αὐτὸ οὐχ ὁρᾶται ἐν τῷ ἐσόπτρῳ, ἀλλὰ τὸ εἴδωλον αὐτοῦ, ὃ ἔσω που τῇ νοήσει τοῦ ἐσόπτρου ὁρώμενον κατὰ τὴν σύμπτωσιν ὁρᾶται κατὰ τὸ Ε, ἐπειδή, εἰ ἐπ' εὐθείας εἰσὶν αἱ ὁράσεις, τὸ Β ἔσω που τοῦ ἐνόπτρου ὄψεται, εἰ δὲ ἔσω, ἀνάγκη ἀπὸ τοῦ ὁρωμένου ἀχθεῖσαν εἰς σύμπτωσιν αὐτῆς φθάσαι, ὡς ἔσται τόπος τοῦ ἔσω δοκοῦντος ἐν τῷ ἐνόπτρῳ φαίνεσθαι.

23. Καὶ ἐπεὶ ἴση ἐστίν p. 316, 9] διὰ τὸ τὰς μὲν ἀνακλωμένας ἴσας εἶναι, ἐκβληθείσης δὲ τῆς ΘΓ τὰς κατὰ κορυφὴν ἴσας εἶναι.

24. Καὶ ἴσον τὸ ὁρώμενον p. 316, 14] ἐὰν ἐπιζεύξωμεν ἀπὸ τοῦ Κ καὶ Ε ἐπὶ τὸ Θ, δύο αἱ ΚΖΘ δυσὶν ταῖς ΕΖΘ ἴσαι, καὶ γωνία καὶ γωνίᾳ, ὥστε καὶ γωνία ἡ ὑπὸ ΚΘΖ ἴση. ἐπεὶ οὖν ὅλη ἡ ὑπὸ ΛΘΖ ὅλῃ τῇ ὑπὸ ΔΘΖ ἴση· ὀρθὴ γὰρ ἑκατέρα· ἐξ ὧν αἱ προρηθεῖσαι ἴσαι, λοιπὴ ἄρα ἡ ὑπὸ ΕΘΔ λοιπῇ τῇ ὑπὸ ΚΘΛ ἴση. ἐπεὶ οὖν δύο αἱ ΚΘΛ δυσὶν ταῖς ΕΘΛ ἴσαι, καὶ γωνία γωνίᾳ, καὶ βάσις ἡ ΛΚ βάσει τῇ ΔΕ ἴση.

---

21. Vq[1]; ad p. 312, 2. 22. V(q). 23. V(q[1]). 24. V(q).

---

9. ἔσω] ἔσο V. 18. καί (sec.)] ς' V; fort. ἴση. 19. ΚΘΖ] scr. ΚΘΖ τῇ ὑπὸ ΕΘΖ. 20. ΔΘΖ] Δ supra scr. m. 1 V. 23. ἴσαι] ἴση V.

25. *Δίχα ἂν εἴη τετμημένη* p. 318, 10] *ἐπεὶ οὖν αἱ διὰ τὴν ἀνάκλασιν ἴσαι, ἐξ ὧν αἱ ἀπολαμβανόμεναι πρὸς τῇ περιφερείᾳ ὑπὸ τῆς KP ἴσαι διὰ τὸ σχόλιον τὸ ἐν τῷ α′* [8], *λοιπὴ ἄρα ἡ ὑπὸ PAB λοιπῇ τῇ ὑπὸ KAO ἴση. ἀλλ' ἡ ὑπὸ PAB τῇ ὑπὸ ZAK ἴση ἐστίν· κατὰ κορυφὴν γάρ· καὶ ἡ ὑπὸ OAK ἄρα ἴση τῇ ὑπὸ KAZ.*

26. *Μείζων ἄρα ἡ EK* p. 318, 11] *ἔστω τρίγωνον τὸ AZE, καὶ δίχα τετμήσθω ἡ A γωνία τῇ AK, καὶ ἔστω ἀμβλεῖα ἡ ὑπὸ AKE. λέγω, ὅτι μείζων ἐστὶν ἡ EK τῆς KZ. ἤχθω γὰρ κάθετος ἡ AΛ, καὶ περὶ τὸ τρίγωνον τὸ AZE κύκλος περιγεγράφθω, καὶ ἐκβεβλήσθωσαν ἡ AΛ καὶ ἡ AK. εἴτε δὲ ὀξεῖα εἴη ἡ Z εἴτε ὀρθὴ εἴτε ἀμβλεῖα, προβαίνει ἡ ἀπόδειξις. εἰ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ KAE τῇ ὑπὸ KAZ, ἴση καὶ ἡ EN περιφέρεια·*



μείζων ἄρα ἡ EM τῆς MZ. μεῖζον ἄρα καὶ τὸ ἀπὸ ME τοῦ ἀπὸ MZ, τουτέστι τὰ ἀπὸ MΛ, ΛE τῶν ἀπὸ MΛ, ΛZ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ MΛ· λοιπὸν ἄρα τὸ ἀπὸ EΛ τοῦ ἀπὸ ΛZ μεῖζόν ἐστιν. κοινὸν προσκείσθω τὸ ἀπὸ ΛA· τὰ ἄρα ἀπὸ EΛ, ΛA,

25. V(q). 26. V(q).

2. *ἴσαι*] *καί* V. *ἀπολαμβανόμεναι*] *ἀπολαμβανομένων αἱ* V. 4. Post *τό* ras. 1 litt. V. 6. *κορυφήν*] *κορυφ*$^{\gamma}$ V. 7. *KAZ*] e corr. q, *KΛZ* V. 9. *τετμήσθω*] *τεαχθησθω* V. 18. *εἰ*] scr. *ἐπεί*? 20. *ἡ EN*] *EN* V. Post *περιφέρεια* addendum *τῇ MZ περιφερείᾳ*.

τουτέστι τὸ ἀπὸ ΑΕ, μείζονα τῶν ἀπὸ ΖΑ, ΛΑ, τουτέστι τοῦ ἀπὸ ΖΑ. μείζων ἄρα ἡ ΑΕ εὐθεῖα τῆς ΖΑ εὐθείας. καὶ τέτμηται ἡ Α δίχα τῇ ΑΚ· ἐὰν δὲ τριγώνου ἡ γωνία δίχα τμηθῇ, τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἔχει λόγον ταῖς τοῦ τριγώνου πλευραῖς· μείζων ἄρα καὶ ἡ ΕΚ τῆς ΚΖ. ἐὰν δὲ καὶ ὀρθὴ ἢ ἀμβλεῖα εἴη ἡ Ζ, αὐτόθεν ἡ ἀπόδειξις· ἐν τριγώνῳ γὰρ τῷ ΑΖΕ ὀρθὴν ἢ ἀμβλεῖαν ἔχοντι τὴν Ζ μείζων ἔσται ἡ ΑΕ τῆς ΑΖ. καὶ τέτμηται ἡ Α δίχα τῇ ΑΚ, ἐὰν δὲ τριγώνου γωνία δίχα τμηθῇ καὶ τὰ ἑξῆς· μείζων ἄρα καὶ ἡ ΕΚ τῆς ΚΖ.

27. *Καὶ ἀμβλεῖά ἐστιν* p. 318, 11] *ἐπειδὴ ἡ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν ἐπιζευγνυμένη ὀρθὴν ποιεῖ τὴν ὑπὸ ΘΑΚ, ὀξεῖα ἄρα ἡ ὑπὸ ΘΚΑ· ἀμβλεῖα ἄρα ἡ ὑπὸ ΑΚΕ.*

28. *Οὐκοῦν ἀπὸ τοῦ κυρτοῦ* p. 318, 19] *ἐὰν γὰρ τὸ κέντρον λαβόντες τῆς σφαίρας ἀπ' αὐτοῦ ἐπιζεύξωμεν ἐπὶ τὸ ὁρώμενον καὶ ἐκβάλωμεν ὡς ἐν τοῖς πρὸ αὐτοῦ, θεωρηθήσεται τὸ ΕΛ ἐν γωνίᾳ τῇ ὑπὸ ΑΒΓ, ὥσπερ καὶ ἐν τοῖς προλαβοῦσιν· τὰ γὰρ ὁρώμενα πάντα ἐν γωνίᾳ ὁρᾶται.*

29. *Ὅπερ ἀδύνατον* p. 320, 10] *ἐπεὶ γὰρ ἡ πρὸς τῷ Ι ἴση ἐστὶ τῇ ὑπὸ ΧΑΕ διὰ τὴν ἀνάκλασιν, ἡ πρὸς τῷ Μ ἄρα ἐλάσσων ἐστὶν τῆς πρὸς τῷ Ι· πολλῷ πλέον ἄρα τῆς ὑπὸ ΓΑΒ.*

---

27. V(q). 28. V(q). 29. V(q euan.).

---

1. *τό*] *τά* V. 15. *ΑΚΕ*] V, *ΚΑΕ* p. 23. *Ι*] e corr. V. *ΧΑΕ*] *Χ* ponendum in parte sinistra speculi.

30. *Ὁ συλλογισμὸς οὕτω· τόδε τοῦδε ἔλασσον· τόδε τῷδε ἴσον· τόδε ἄρα τοῦδε ἔλασσον.*

31. *Δίχα δὴ τεμεῖ* p. 322, 13] *ἐὰν γὰρ ἐφαπτομένην ἀγάγωμεν διὰ τοῦ Γ, αἱ μὲν ὑπὸ τῆς ἐφαπτο-*
5 *μένης καὶ τῆς ΘΚ γινόμεναι ἴσαι· ὀρθὴ γὰρ ἑκατέρα· ἐξ ὧν αἱ ἀπολαμβανόμεναι ὑπὸ τῶν ἐφαπτομένων καὶ τῶν ἀνακλωμένων ἴσαι διὰ τὸ τὰς ἀνακλωμένας ἴσας εἶναι, ἐξ ὧν τὰς κερατοειδεῖς ἴσας διὰ τὸ σχόλιον τὸ ἐν τῷ α'* [8]. *λοιπὴ ἄρα ἡ ὑπὸ ΒΕΔ*[1]) *δίχα τέμνεται.*

10 32. *Ἔστι δὲ καὶ ἐλάσσων* p. 322, 20] *ἐπειδὴ ἡ μὲν ὑπὸ ΒΓΚ ἴση τῇ ὑπὸ ΘΓΕ· κατὰ κορυφὴν γάρ· ἡ δὲ ὑπὸ ΘΓΕ ἐλάσσων τῆς ἐκτὸς τριγώνου τοῦ ΘΓΕ.*

33. *Ἡ αὐτή* p. 324, 12] *τουτέστιν ἡ ἀπὸ τῆς μείζονος σφαίρας· δυνατὸν γὰρ καὶ κατὰ πλείονας ἀκτῖνας*
15 *ὁρᾶν.*

34. *Τοῦτο δὲ ἐπάνω* p. 324, 15] *ἐν αὐτῷ ἄρα τῷ θεωρήματι ἀπὸ τῶν διχοτομιῶν τῶν γωνιῶν.*

35. *Οὐκοῦν τῶν ὄψεων μέγισται* p. 326, 3] *διὰ τὸ τοῦ γ' βιβλίου τῆς ἐπιπέδου* [8]· *ἡ ἐλαχίστη γὰρ ἡ*
20 *μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου, τῶν δὲ πρὸς τὴν κυρτὴν περιφέρειαν ἀεὶ ἡ ἔγγιον τῆς μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου τῆς ἀπώτερον ἐλάττων.*

1) Debuit dici *ΒΓΔ*; sed in *ΒΕΔ* similiter ratiocinandum est, et fortasse huius rei mentio excidit.

30. V q[1] (ad p. 320, 11 sq.). 31. V (q). 32. V (q[1]). 33. V q[1]. 34. V q[1]. 35. V (q[1]).

11. *ΘΓΕ*] *Ε* e corr. V. *κορὺφήν*] *κορυφ*[c] V. Ad p. 324, 20 in V adscribitur: *ὡς κατὰ τὴν καταγραφὴν τὴν ὑποκειμένην.* 19. *τό*] om. q. *βιβλίου*] om. q. Post *ἐπιπέδου* supra scr. *Εὐκλείδου* m. rec. V, m. 1 q.

36. *Οὐκοῦν ἴση ἡ Ε* p. 326, 12] *πᾶσαι γὰρ αἱ ἀπὸ τοῦ κέντρου ἴσας ποιοῦσι γωνίας κατὰ τὴν ἐφαρμογὴν τῶν ἡμικυκλίων.*

37. *Οὐκοῦν μείζων ἐστίν* p. 326, 22] *ὡς μείζονος τμήματος οὖσα κατὰ τὸ λγ' τοῦ γ' βιβλίου τῆς ἐπιπέδου.*

38. *Ἀνακλώμεναι αἱ ὄψεις* p. 328, 21] *ἐὰν ἀπὸ τοῦ Κ ἐπιζεύξωμεν ἐπὶ τὸ κέντρον, τουτέστι τὸ Ζ, ἔσονται αἱ τῶν ἡμικυκλίων ἴσαι κατὰ τὴν ἐφαρμογὴν ἡ ὑπὸ ΔΚΖ τῇ ὑπὸ ΖΚΑ. ὥστε ἡ ὑπὸ ΔΚΘ ἐλάττων τῆς ὑπὸ ΖΚΑ, πολλῷ πλέον τῆς ὑπὸ ΘΚΑ. ὁμοίως καὶ ἐὰν ἀπὸ τοῦ Ν ἐπιζεύξωμεν ἐπὶ τὸ Ζ. ὥστε ἀνακλώμεναι αἱ ὄψεις αἱ ΘΚ, ΜΝ ἥξουσιν ὡς αἱ ΚΛ, ΝΞ διὰ τὸ ε'.*

39. *Ἀνακλωμένη ἥξει* p. 330, 10] *ἐπεὶ γὰρ δύο αἱ ΒΖΓ δυσὶν ταῖς ΕΖΓ ἴσαι καὶ γωνία γωνίᾳ, καὶ πάντα πᾶσιν· ὥστε καὶ ἡ ὑπὸ ΒΓΖ ἴση τῇ ὑπὸ ΖΓΕ. ἐπεὶ οὖν ὅλη ἡ τοῦ ἡμικυκλίου ὑπὸ ΑΓΖ ὅλῃ τῇ ὑπὸ ΖΓΔ ἴση, ἐξ ὧν ἡ ὑπὸ ΒΓΖ ἴση τῇ ὑπὸ ΖΓΕ, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ λοιπῇ τῇ ὑπὸ ΕΓΔ ἴση. ἥξει ἄρα ἡ ΒΓ ὄψις ἐπὶ τὸ Ε.*

40. *Δίχα ἄρα τμηθήσεται* p. 330, 13] *ἐπεὶ γὰρ ἴση ἡ τοῦ ἡμικυκλίου τῇ τοῦ ἡμικυκλίου, ἐξ ὧν αἱ ὑπὸ ΒΘΑ, ΔΘΕ ἴσαι διὰ τὸ πρῶτον, δίχα ἄρα τέτμηται.*

41. *Καὶ ἀνάλογον ἔσται* p. 330, 14] *διὰ τὸ γ' τοῦ ϛ' βιβλίου τῆς ἐπιπέδου.*

---

36. V(q¹). 37. V(q¹). 38. V(q). 39. V(q). 40. V(q). 41. Vq¹.

---

4. ὡς] ὡς ἐν V. 11. ΘΚΛ] ΘΚΔ V. 16. ΒΓΖ] Β supra scr. m. 1 V. ΖΓΕ] ΖΓ V. 17. ἡμικυκλίου] ιμηκυκλιου V. 24. γ'] q, ι' V.

42. *Διὰ τοῦτο μία μόνη, ἐπειδή, εἰ ἦν καὶ ἄλλη, εἰκὸς ἦν αὐτὰς συμπεσεῖν.*

43. *Οὐ γὰρ συμπεσεῖται* p. 330, 19] *ἐπειδὴ παντὸς τριγώνου αἱ* $\bar{\beta}$ *γωνίαι δύο ὀρθῶν ἐλάττους.*

44. *Καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ΒΓ* p. 332, 17] *ἐπεὶ γὰρ ἡ ΓΠ ἴση τῇ ΠΚ, ἡ ΓΝ μείζων τῆς ΝΚ. ὥστε καὶ τὸ ἀπὸ τοῦ. κοινὸν προσκείσθω τὸ ἀπὸ ΝΒ· τὰ ἄρα ἀπὸ τῶν ἀπὸ μείζονα. ἀλλὰ τοῖς μὲν ἀπὸ ΓΝΒ ἴσον τὸ ἀπὸ ΓΒ, τοῖς δὲ ἀπὸ ΒΝΚ ἴσον τὸ ἀπὸ ΒΚ· ὥστε ἡ ΓΒ μείζων τῆς ΒΚ.*

45. *Ὥστε καὶ ἡ ὑπὸ ΓΒΘ μείζων* p. 332, 18] *ἐπεὶ γὰρ τριγώνου τοῦ ΓΒΝ αἱ* $\bar{\gamma}$ *γωνίαι ταῖς τρισὶν γωνίαις τριγώνου τοῦ ΒΝΚ ἴσαι, ἐξ ὧν αἱ δύο ἡ πρὸς τῷ Ρ καὶ ἡ ὑπὸ ΒΝΚ μείζους τῶν δύο τῆς τε πρὸς τῷ Ι καὶ τῆς ὑπὸ ΓΝΒ, λοιπὴ ἄρα ἡ ὑπὸ ΚΒΝ λοιπῆς τῆς ὑπὸ ΓΒΝ ἐλάσσων· ὅπου γὰρ τὸ μεῖζον, ἐκεῖ τὸ ἔλαττον.*

46. *Τουτέστι τῆς ὑπὸ ΒΘΚ* p. 332, 19] *ἴση γὰρ ἡ ΒΚ τῇ ΚΘ, ἐπειδὴ δύο αἱ ΒΓΚ δυσὶν ταῖς ΘΓΚ ἴσαι καὶ γωνία γωνίᾳ.*

47. *Οὐκ ἄρα συμπεσεῖται* p. 332, 19] *ἐπεὶ γὰρ μείζων ἡ ὑπὸ ΓΒΚ τῆς ὑπὸ ΒΘΚ, κοινὴ προσκείσθω ἡ ὑπὸ ΘΒΦ· αἱ δύο ἄρα τῶν δύο μείζους. ἀλλ' αἱ δύο δυσὶν ὀρθαῖς ἴσαι· αἱ δύο ἄρα δύο ὀρθῶν ἐλάττους. ὥστε αἱ ὑπὸ ΓΒΘ, ΥΘΒ δύο ὀρθῶν μείζους.*

---

42. V(q[1]); ad p. 330, 17. 43. V(q[1]). 44. V(q). 45. V(q). 46. V(q[1]). 47. V(q).

---

7. *τοῦ*] sc. *τοῦ ἀπό*. 23. *ΘΒΦ*] *ΒΘΦ*, *Β* e corr. m. 1. V.

48. *Μείζων ἐστὶν ἡ ΒΖ* p. 334, 15] *διὰ τῶν ἀπὸ ὡς ἐν τῷ λε'.*

49. *Συμπεσοῦνται ἄρα* p. 334, 17] *κοινῆς προσκειμένης τῆς ὑπὸ ΖΑΠ.*

50. *Παράλληλοι γάρ εἰσιν* p. 334, 22] *ἐπεὶ γὰρ δύο αἱ ΒΑΖ δυσὶν ταῖς ΓΑΖ ἴσαι, ἀλλὰ καὶ γωνία ἴση· ὀρθὴ γὰρ ἑκατέρα· καὶ γωνία ἡ ὑπὸ ΑΒΖ γωνίᾳ τῇ ὑπὸ ΑΓΖ ἴση. ἔστιν δὲ καὶ ἡ ὑπὸ ΑΒΑ ἴση τῇ ὑπὸ ΑΓΑ· ὥστε λοιπὴ ἡ ὑπὸ ΠΒΑ λοιπῇ τῇ ὑπὸ ΘΓΑ ἴση διὰ τὸ τέτρασιν ὀρθαῖς ἴσας εἶναι τὰς ὑπὸ ΠΑΒ ἴση τῇ κατὰ κορυφήν. ἐὰν δὲ δύο τρίγωνα δύο γωνίας δύο γωνίαις ἴσας ἔχῃ καὶ τὰ ἑξῆς· ἴσον ἄρα τὸ ΒΑΠ τρίγωνον τῷ ΘΑΓ τριγώνῳ. κοινὸν προσκείσθω τὸ ΒΑΓ· τὸ ΠΓΒ ἄρα τῷ ΘΒΓ ἴσον. καί εἰσιν ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΠΘ· παράλληλος ἄρα ἡ ΒΓ τῇ ΠΘ.*

51. *Μείζων γὰρ ἡ ΜΑ* p. 336, 2] *ἐπεὶ ἰσογώνιόν ἐστι τὸ ΠΑΜ τρίγωνον τῷ ΑΒΑ τριγώνῳ· αἱ μὲν ὀρθαὶ αὐτῶν ἴσαι, ἡ δὲ πρὸς τῷ Κ τῇ ὑπὸ ΠΑΜ κατὰ τὰ ἤδη δειχθέντα· λοιπὴ ἄρα τῇ λοιπῇ ἴση· τῶν δὲ ἰσογωνίων ἀνάλογον αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἔστιν ἄρα, ὡς ἡ ΠΜ πρὸς ΜΑ, οὕτως ἡ ΒΑ πρὸς ΑΑ. καὶ ἐναλλάξ, ὡς ἡ ΠΜ πρὸς ΒΑ, οὕτως ἡ ΜΑ πρὸς ΑΑ. μείζων δὲ ἡ ΠΜ τῆς ΒΑ· ἐδείχθη γάρ· καὶ ἡ ΜΑ ἄρα τῆς ΑΑ.*

48. Vq[1]. 49. V. 50. V(q). 51. V(q).

4. ΖΑΠ] ΖΑΠ V. 7. ΑΒΖ] ΑΖΒ V. 8. ΑΓΖ] ΑΓΗ V. 10. τάς] hic aliquid excidit (.... ἔστι δὲ καὶ ἡ). 12. ἔχῃ] ἔχει V. 13. κοινὸν προσκείσθω] bis V. 15. ΠΘ] debuit ΒΓ. 18. ΑΒΑ] ΑΒΓ V. 25. ΜΑ] ΜΑΑ V. τῆς ΑΑ] τῇ ΓΑΑ V.

52. *Μείζων δὲ ἡ ΜΑ τῆς ΑΛ οὕτως· ἐπεὶ παράλληλος ἡ ΒΛ τῇ ΠΜ, ἴση ἡ πρὸς τῷ Μ γωνία τῇ πρὸς τῷ Λ, ἐπειδὴ ὀρθὴ ἡ πρὸς τῷ Λ. ἔστι δὲ καὶ ἡ πρὸς τῷ Κ ἴση τῇ ὑπὸ ΠΑΜ διὰ τὸ τὴν μὲν πρὸς τῷ Κ ἴσην εἶναι τῇ πρὸς τῷ Δ, τὴν δὲ πρὸς τῷ Δ τῇ κατὰ κορυφήν· ἰσογώνιον ἄρα τὸ ΠΑΜ τρίγωνον τῷ ΒΑΛ. τῶν δὲ ἰσογωνίων ἀνάλογον αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἔστιν ἄρα, ὡς ἡ ΠΜ πρὸς τὴν ΜΑ, οὕτως ἡ ΒΛ πρὸς ΛΑ· καὶ ἐναλλάξ, ὡς ἡ ΠΜ πρὸς τὴν ΒΛ, οὕτως ἡ ΜΑ πρὸς ΛΑ. μείζων δὲ ἡ ΜΑ τῆς ΛΑ· μείζων ἄρα καὶ ἡ ΠΜ τῆς ΒΛ.*[1]) *ὁμοίως καὶ ἡ ΜΘ τῆς ΛΓ.*

53. *Οὐκοῦν τὸ μὲν Β* p. 336, 12] *ἐπειδὴ ἕκαστον τῶν ὁρωμένων ὁρᾶται κατὰ τὴν σύμπτωσιν ἐκβαλλομένων τῆς τε ὄψεως καὶ τῆς ἀπὸ τοῦ ὁρωμένου ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένης, ὥστε τοῦ Β ὁρῶντος τοῦ Γ ὁρωμένου καὶ τοῦ Γ ὁρῶντος τοῦ Β ὁρωμένου ταὐτὰ γίνεσθαι.*

54. *Ἐλάσσων δὲ ἡ ΕΚ τῆς ΒΓ ἐκ τοῦ ἰσογώνιον εἶναι τὸ ΔΑΓ τῷ ΔΕΚ*[2]) *ἐκ τῆς κοινῆς γωνίας καὶ ἐκ τῶν ὀρθῶν διὰ τὸ παραλλήλους εἶναι τὴν ΕΚ καὶ τὴν ΒΓ.*

1) Errore permutauit *ΜΑ*, *ΛΑ* et *ΠΜ*, *ΒΛ*.
2) Debuit dici: *dimidium ΔΕΚ*.

52. V(q); eodem pertinet. 53. V(q). 54. V(q); pertinet ad p. 336, 14 sq.

4. *τῷ*] corr. ex *τό* m. 1 V. 6. *τῇ*] *τῆς* V. *κορυφήν*] *κορυφῆς* V. *ΠΑΜ*] *ΠΑΝ* V. 9. *ΜΑ*] corr. ex *ΜΛ* m. 2 V. 10. *ΜΑ*] *ΜΛ* V. 11. *ΜΑ*] *ΜΛ* V. 16. *τοῦ Β*] *τὸ Β* V. 17. *ταὐτά*] *ταυτᾱ* V.

55. *Παράλληλος γάρ ἐστιν ἡ ΕΚ* p. 336, 15] *πάλιν ὁμοίως ἰσογωνίου δεικνυμένου τοῦ ΚΖΓ τριγώνου τῷ ΕΖΒ τριγώνῳ καὶ μιᾶς πλευρᾶς μιᾷ πλευρᾷ ἴσης τῆς πρὸς ταῖς ἴσαις γωνίαις.*

56. *Ἡ γὰρ γωνία ἡ πρὸς τῇ* p. 340, 9] *ἐὰν γὰρ ἐπιζεύξωμεν τὴν ἀπὸ τοῦ Γ ἐπὶ τὸ Θ, ἴση ἐστὶν ἡ ὑπὸ ΗΓΘ τῇ ὑπὸ ΘΓΒ· ἡμικυκλίων γάρ. οὐκοῦν ἡ ὑπὸ ΗΓΔ ἐλάσσων τῆς ὑπὸ ΘΓΒ· πολλῷ πλέον τῆς ὑπὸ ΔΠΒ.* 5

Διὰ τί δὲ ἡ ἀνακλωμένη μὴ ἐπὶ τὸ κέντρον ἐπιζεύγνυται; ἐπειδὴ αἱ ὄψεις ἐν ἴσαις γωνίαις ἀνακλῶνται, ἐλάττων δὲ ἔμελλεν εἶναι ἡ πρὸς τῷ Π τῆς ὑπὸ ΘΓΒ, ἀνάγκη οὖν τὴν ἴσην τῇ πρὸς τῷ Π ἀπὸ τῆς μείζονος ἀφαιρεθεῖσαν τῆς ὑπὸ ΘΓΒ ἀνωτέρω που ποιῆσαι τὴν ἀνάκλασιν ὡς ἐπὶ τὸ Κ. 10 15

57. *Φανερὸν οὖν, ὅτι* p. 340, 13] *ἐὰν ἐπιζεύξωμεν ἀπὸ τοῦ Θ ἐπὶ τὸ Γ καὶ ἐπὶ τὸ Α, ἔσται δῆλον οὕτως· ἐπεὶ δύο αἱ ΚΘΓ δυσὶν ταῖς ΚΘΑ ἴσαι καὶ γωνία γωνίᾳ διὰ τὰς περιφερείας, πάντα πᾶσιν· ὥστε γωνία ἡ ὑπὸ ΚΑΘ γωνίᾳ τῇ ὑπὸ ΚΓΘ ἴση. πάλιν ἐπεὶ ἡ ὑπὸ ΑΘΔ ἴση τῇ ὑπὸ ΓΘΔ διὰ τὸ τὰς ῥηθείσας ἴσας γωνίας ἐκ τῶν τεσσάρων ὀρθῶν τὰς ὑπολοίπους δύο ἴσας καταλιμπάνειν, δύο αἱ ΓΘΔ δυσὶν ταῖς ΑΘΔ ἴσαι καὶ γωνία γωνίᾳ· ἴση ἄρα ἡ ὑπὸ ΘΑΔ τῇ ὑπὸ ΘΓΔ. ἐπεὶ οὖν ὅλη ἡ ὑπὸ ΘΑΒ ἴση τῇ ὑπὸ ΘΓΒ· ἡμικυκλίων γὰρ ἐφαρμοζομένων· ἐξ ὧν ἡ ὑπὸ ΚΑΘ ἴση τῇ ὑπὸ ΚΓΘ, λοιπὴ ἄρα ἡ ὑπὸ ΚΑΒ ἴση τῇ ὑπὸ ΚΓΒ. ἀλλ' ἡ ὑπὸ ΚΓΒ ἴση τῇ ὑπὸ ΔΠΗ· ἡ ἄρα* 20 25

55. V(q¹). 56. V(q). 57. V(q).

ὑπὸ ΔΓΗ ἴση τῇ ὑπὸ ΚΑΒ. ἀλλ' ἡ ὑπὸ ΔΓΗ ἴση τῇ ὑπὸ ΔΑΡ· καὶ ἡ ὑπὸ ΚΑΒ ἄρα τῇ ὑπὸ ΔΑΡ.

58. *Ἐπὶ τὰς διὰ τοῦ κέντρου* p. 342, 7] *τουτέστι κατὰ τῆς ΒΘ πᾶσαι πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ, ἑνὶ δὲ ἑκατέρωθεν ὥσπερ αἱ ΓΚΑ.*

58. V(q).

4. ἄλλῳ (pr.)] q, ἄλλο V.